ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
ΤΗΣ ΜΗΛΙΩΤΙΚΗΣ ΣΧΟΛΗΣ
ΜΗΛΕΩΝ
264.019
ΤΑΞ. ΑΡ. LE 536.13
ΑΡ. ΕΙΣ. 302
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

[illegible] αψξθ

1769

Ἀριθ 62

αψξθ

Ἐκ τῶν τοῦ Ἁγίου Κωνσταντίνου

Βιβλιοθήκη Μηλεῶν

Ἀριθμὸς 473/1

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Εισαγ. 688

# ΘΕΟΤΟΚΑΡΙΟΝ

## ΩʽΡΑΙΟΤΑΤΟΝ ΚΑῚ

## ΧΑΡΜΟΣΥΝΟΝ,

Τὸ πρὶν ἐπιμελῶς συγγραφὲν ἐκ τῶν τοῦ Ἁγίου Ὄρους Βίβλων

## ΠΑΡ᾿ ΑʼΓΑΠΙΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΚΡΗΤΟΣ.

Καὶ τανῦν μεταϋπωθέντε, καὶ διορθωθὲν εἰς δόξαν αὐτῆς τῆς

## ΑʼΕΙΠΑΡΘΕΝΟΥ ΚΟΡΗΣ ΚΑῚ ΘΕΟΜΗΤΟΡΟΣ.

Παρὰ τοῦ Ἱεροδιακόνου Σπυρίδωνος Παπαδοπούλου.

264.019
LE 536.13
62
ΥΠΟΥΡΓΕΙΟΝ ... ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ ... ΒΙΒΛΙΟΘΗΚΗ ...

αψοέ. ΕʼΝΕΤΙΗΣΙΝ, 1775.

ΠΑΡᾺ ΝΙΚΟΛΑʼΩ ΓΛΥΚΕΙ ΤΩ ἘΞ ἸΩΑΝΝΙΝΩΝ.
CON LICENZA DE' SUPERIORI.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοτική Βιβλιοθήκη Μηλεών

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Βιβλιοθήκη Μηλεών

# ΠΑ͂ΣΙ ΤΟΙ͂Σ ΕΥ'ΣΕΒΕΣΤΑ'ΤΟΙΣ

# ΧΡΙΣΤΙΑΝΟΙ͂Σ

# ΤΟΙ͂Σ

# Ε'ΝΤΕΥΞΟΜΕ'ΝΟΙΣ ΧΑΙ'ΡΕΙΝ.

ΠΟΛΛΗ'Ν ἐλπίδα καὶ θάῤῥος ἔχει ἕνας ὑπεύθυνος (cioè reo) ὅταν τὸν ἐξετάζουν εἰς τὸ Κριτήριον διὰ τὰς κακουργίας αὐτοῦ, ἐὰν εἶναι τινὰς Ῥήτωρ εὔγλωττος, καὶ πρακτικὸς δραγουμάνος, νὰ μεσιτεύῃ πρὸς τὸν Βασιλέα εἰς πρόφασιν ἢ βοήθειαν αὐτοῦ τοῦ πταίσαντος. μάλιστα ἐὰν τύχῃ νὰ εἶναι καὶ συγγενὴς τοῦ Κριτοῦ ὁ μεσίτης, ἢ ἀκριβὸς φίλος του (νὰ τὸν παρακαλέσῃ καὶ χωρὶς τὴν δημηγορίαν, ἀπό-

κρυφα) εἶναι βέβαιος, πῶς τὸ θέλει κάμει καλοσιώὴν ὁ Βασιλεὺς, νὰ μὴ τὸν κρίνῃ μὲ τὸ αὐςηρὸν τῆς Δικαιοσύνης, ἀλλὰ σπλαγχνικώτερα, διὰ τὴν ἀγάπην τοῦ φίλου του. Τοιουτοτρόπως καὶ ὅςις ἔπταισε τοῦ Ἐπουρανίου Βασιλέως Χριςοῦ ἁμαρτάνοντας. καὶ ἐπιποθεῖ νὰ ἐπιτύχῃ συγχωρήσεως τὴν ἡμέραν τῆς Κρίσεως. ἂς κάμῃ τρόπον, νὰ εὕρῃ τινὰ μεσίτην, ὁποῦ νὰ εἶναι τοῦ Κριτοῦ φίλος γνήσιος. διὰ νὰ δυσωπηθῇ μὲ τὴν ἱκεσίαν τοῦ φίλου του, νὰ συγχωρήσῃ τῷ πταίσαντι. Ὅλοι γοῦν οἱ Ἅγιοι, Ἀπόστολοι, Μάρτυρες, καὶ Ὅσιοι, ὁποῦ ὑπέμειναν διαφόρους βασάνους καὶ θλίψεις διὰ τὸν Κύριον, ἔχουσι πρὸς αὐτὸν πολλὴν παῤῥησίαν ὡς δοῦλοι του. ἀμὴ ἡ Πολυεύσπλαγχνος Μήτηρ αὐτοῦ, ἡ δεσπόζουσα πάσης τῆς Κτίσεως, ἔχει πολλαπλασιότερον θάῤῥος, καὶ παῤῥησίαν πρὸς αὐτὸν νὰ πρεσβεύῃ, ὑπὲρ τοὺς Ἁγίους ἅπαντας. καθὼς ἐφάνη εἰς διαφόρους καιροὺς ἀπὸ τώρα, πρὸ τοῦ νὰ γένῃ ἡ Οἰκουμενικὴ ἐξέτασις. καὶ ἐλύτρωσε πολλὰς ψυχὰς ἀπὸ τὰς ἐνέδρας τοῦ δαίμονος. ὡς φαίνεται εἰς Βιβλία διάφορα. Ὅςις οὖν ἐῤῥύπωσε τὸ κατ᾽ εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν, ἂς ἀποκτήσῃ φίλον ἐτοῦτον τὸν πάνσοφον καὶ πανδύναμον Ῥήτορα. τὴν ὑπέρτιμον λέγω τῶν Ἀγγέλων Βασίλισσαν, τὴν κοινὴν ἡμῶν Μεσίτειαν. ἥτις δύναται τόσον μὲ τὸν Κριτὴν, ὁποῦ δὲν ἠμπορεῖ ὡς χρεοφειλέτης Υἱὸς, παρεξ νὰ πληρώσῃ τὴν εὔσπλαγχνον αὐτῆς ἱκεσίαν ὁ πανοικτίρμων καὶ Πολυέλεος. Μὲ ἄλλον τρόπον λοιπὸν δὲν ἀξιώνεσαι ἄνθρωπε νὰ κάμῃς φιλίαν μὲ τὴν πανδύναμον Δέσποιναν, μόνον νὰ ἀναγινώσκῃς εὐλαβῶς τὰ ἐγκωμιαςικὰ τῆς Τρο-

πά-

Δημόσια Βιβλιοθήκη Μηλεών

πάρια. ὅτι καθὼς ἕνας Ἄρχωντας χαίρεται, ὅταν ἐπαινᾶς καὶ φημίζεις τον, ὁποῦ εἶναι θνητὸς καὶ σκωληκόβρωτος ἄνθρωπος. καὶ σοῦ γνωρίζει μεγάλην χάριν. καὶ κάμνει σοῦ πλουσίαν ἀνταμειψιν. οὕτως ἀγάλλεται καὶ εὐφραίνεται ὁ Βασιλεὺς τῶν Βασιλευόντων, ὁ ὢν αἰνετὸς καὶ εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅταν δοξολογοῦμεν αὐτὸν, ἢ τὴν ὑπερένδοξον Μητέρα του. καὶ μένοντες ὑπόχρεοι, κάμνει χρεία, νὰ μᾶς ἀνταμεύσουν τὴν χάριν πλουσιοπάροχα. Διὰ ταύτην οὖν τὴν αἰτίαν, ἀπὸ ὅλα τὰ τοῦ Ἁγίου Ὄρους ΘΕΟΤΟΚΑΡΙΑ, ἐμεταγράφθησαν τὰ ὡραιότερα Τροπάρια μὲ πολλὴν ἐπιμέλειαν. τὰ ὁποῖα καὶ τώρα μεταδίδονται εἰς τύπους, μὲ τὴν βοήθειαν αὐτῆς τῆς Ἀειπαρθένου ΜΑΡΙΑΣ. διὰ νὰ τὰ ἀναγνώθουσιν οὐ μόνον εἰς ταῖς Λαύραις τῶν Μοναχῶν καὶ Κοινόβια. ἀλλὰ καὶ οἱ Ἱερεῖς εἰς τὸν Κόσμον, καὶ λαϊκοὶ εὐλαβεῖς, ὅσοι ποθοῦσι νὰ εὕρωσι βοηθὸν αὐτὴν τὴν πολυώνυμον καὶ παντοδυνάμον Ἄνασσαν. Ναὶ Εὐσεβέστατοι Ἱερεῖς καὶ Μονάζοντες. καὶ ὅσοι ἀπὸ τοὺς Κοσμικοὺς εὐλαβεῖσθε τὴν Δέσποιναν. μὴν ἀμελᾶτε νὰ τὴν εὐχαριστᾶτε εἰς τὰς εὐεργεσίας καὶ δωρεὰς, ὁποῦ ἠξίωσε κοινῶς ἅπαντας. καὶ μερικῶς πάλιν ἄλλους πολὺ, καὶ ἑτέρους περισσότερον. ἐπειδὴ θαῤῥῶ, δὲν εἶναι τινὰς ἀπὸ τοὺς πιστοὺς, νὰ μὴν ἔλαβε παρ᾽ αὐτῆς πολλὰς χάριτας. Λοιπὸν μὴ φανῆτε πρὸς τοὺς εὐεργέτας ἀχάριστοι. ἀλλὰ πρῶτον μὲν ἀναγινώσκετε τοὺς Ὕμνους τοῦ Θηκαρᾶ, οἵτινες εἰσὶ προτιμώτεροι καὶ ἀναγκαιότεροι. ἐπειδὴ εἶναι εἰς δόξαν καὶ αἴνεσιν τῆς Ὑπερουσίου Τριάδος. καὶ δεύτερον τοὺς Κανόνας τῆς Ὑπεραγίας Θεοτόκου.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών




Δημόσια Βιβλιοθήκη Μηλεών

# ΘΕΟΤΟΚΑΡΙΟΝ

## ὩΡΑΙΟΤΑΤΟΝ, ΚΑῚ ΧΑΡΜΟΣΥΝΟΝ,

## ΠΑΡᾺ ἈΓΑΠΙΟΥ ΜΟΝΑΧΟΥ

Συγγραφὲν μετὰ πλείστης ἐπιμελείας ἐκ τῶν τοῦ Ἁγίου Ὄρους βίβλων. καὶ παρ' ἐμοῦ νεωστὶ τυπωθὲν εἰς δόξαν τῆς Ἀειπαρθένου Κόρης καὶ Θεομήτορος.

## ΤΗ͂Ι ΚΥΡΙΑΚΗ͂Ι ἙΣΠΕΡΑΣ,

## ΚΑΝῺΝ ΕἸΣ ΤῊΝ ὙΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ,

## ΤῊΝ ΠΟΛΥΩΝΥΜΟΝ ΚΑῚ ΠΑΝΥΜΝΗΤΟΝ.

Ὠδὴ, ά. Ἦχος, ά. Σοῦ ἡ τροπαιοῦχος.

ΧΑΙΡΟΙΣ ἱλαστήριον ψυχῶν. Παρθενομήτωρ χαρὰν ἡ κυήσασα. Χαῖρε ἡ Βασίλισσα. Χαῖρε Ναὲ Χριστοῦ. χαῖρε ἡ πάνσεμνος. χαῖρε προστασία, ψυχῶν ὁμοῦ καὶ κραταίωμα.

ΧΑῖρε τῆς ζωῆς ἀπαρχή. χαῖρε ἀρᾶς ἡ ἀναίρεσις Δέσποινα. χαῖρε Μητροπάρθενε, ὑπερφυῶς τὸν Θεὸν ἡ γεννήσασα. χαῖρε θεία ῥάβδος, παθῶν πελάγη ἡ ξηράνασα.



Δημόσια Βιβλιοθήκη Μηλεών

Χαῖρε γαλουχὸς ὁ τῆς ζωῆς. χαῖρε τοῦ Λόγου ἡ Μήτηρ Θεόνυμφε. χαῖρε στάσις γνώσεων. χαῖρε Ἀγγέλων δοξασμὸς καὶ καύχημα. χαῖρε Θεομῆτορ. χαῖρε λυχνία αὐγάζουσα.

Χαῖρε ἡ χωρήσασα Χριστόν. χαῖρε τῆς πρὶν παραπτώσεως ὕψωσις. χαῖρε ἡ ἀνίκητος. χαῖρε προστάτις Κόσμου, χαῖρε ἄχραντε. χαῖρε Βασιλείας Χριστοῦ τοῦ Θεοῦ ἡ οἰκείωσις.

Ὠδὴ, γʹ. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

Χαῖρε ὄλβος ἄσυλος Πιστῶν. Χριστοῦ χαῖρε διάδημα. χαῖρε ἀστὴρ Κυρίου λαμπρότατε, πηλίκον ὕψος χάριν μοι ὄρεξον, τοῦ βοᾷν σοι Δέσποινα. χαῖρε μόνη Ἄνασσα, ἡ πασῶν τοῦ Παντάνακτος.

Χαῖρε Νύμφη πάναγνε Θεοῦ. χαῖρε Θεοχαρίτωτε. δι᾽ ἧς βροτοὶ ἐθεώθημεν. χαῖρε ἡ βάτος ἡ ἀκατάφλεκτος. χαῖρε τὸ γαλήνιον. χαῖρε ἡ ἀφάνισις τῆς ἀρᾶς. χαῖρε μόνη πανύμνητε.

Χαῖρε ὁ λιμὴν ὁ σωστικός. λειμὼν χαῖρε ὁ εὔοσμος. χαῖρε λαμπτὴρ ψυχῶν Πανάχραντε. χαῖρε ἁπάντων τὸν Κτίστην ἡ τέξασα. χαῖρε ἣν ἀνύμνησε Προφητῶν ὁ σύλλογος. Γαβριὴλ δὲ τὸ Χαῖρε προσήγαγε.

Χαῖρε ἡ Βασίλισσα βροτῶν. Ἀγγέλων χαῖρε Δέσποινα. χαῖρε Ἀρχῶν αὐτῶν ὑπερέχουσα. ταμεῖον χαῖρε Χριστοῦ πανάμωμε. χαῖρε πύλη ἄβατε, χαῖρε πόκε ἔμψυχε. χαῖρε μόνη ἐλπὶς τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ, δʹ. Ὄρος σε τῇ χάριτι.

Χαῖρε Μητροπάρθενε Ἁγνή. χαῖρε πύρινε στύλε φωτὸς ἡλιακέ. χαῖρε σεμνὴ περιστερά. χαῖρε τιμαλφέστατον τοῦ Βασιλέως παλάτιον. χαῖρε ἡ μόνη τὴν πτῶσιν μειώσασα.

Χαῖρε ἡ ὁλόφωτος νεφέλη. χαῖρε Πανάχραντε. Ναὲ Θεοῦ χαῖρε σεμνή. χαῖρε νυμφὼν ὁ εὐπρεπής. χαῖρε σέλας ἄδυτον, τοῦ νοητοῦ φωσφόρου. χαῖρε ἀειφωτε Κόσμου λαμπτήρ. χαῖρε Πάναγνε Δέσποινα.

Χαῖρε ἡ Βασίλισσα. σκέπη βροτῶν ἀκατάληπτε. Κόσμου μεσίτρια σεμνή. χαῖρε ἀστὴρ ἀειλαμπής. χαῖρε ἀλάβαστρον φρικτὸν τοῦ μύρου τῆς χάριτος, τοῦ νοητοῦ φυτοῦ Χριστοῦ τοῦ βλαστήσαντος, ἐκ τοῦ Θεοῦ καὶ Πατρός. χαῖρε Πάναγνε Δέσποινα.

Χαῖρε ἡ πολύπτυχος, Χριστοῦ βίβλος Ἄνασσα. τῶν διεστώτων συνδρομή. χαῖρε τὸ ῥεῖθρον τῆς ζωῆς. χαῖρε τὸ ξύλον τῆς τρυφῆς. ἁγνὸν οἰκητήριον. τράπεζα χαῖρε καὶ στάμνε καὶ γέφυρα.

Ὠδὴ, εʹ. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Χαῖρε λίθε τὸν ἀκρόγωνον λίθον Χριστὸν ἡ τέξασα. χαῖρε πύργε τῶν ἐχθρῶν ἀπαντῶσα τὸ φρύαγμα. χαῖρε φῶς ἀΐδιον τῆς ὑπεράρχου Θεαρχίας, εἰσδεξαμένη Πανάμωμε.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Χαῖρε στάσις κινουμένων ἐξ ὕλης Πανάχραντε. χαῖρε φαυσ... τοῖς ἐν ζόφῳ προσάγουσα. χαῖρε ὄντως Δέσποινα. χαῖρε λυχνι— μὸν ρε ξίφος τὰς ἀσθενείας ἡ τέμνουσα.

Χαῖρε τόμε ὁ Θεοῦ τὴν σοφίαν δεξάμενος. χαῖρε πλὰξ γεγραφεῖσα τὸν Λόγον τῷ Πνεύματι. χαῖρε θεοπάροχον δῶρον, βροτῶν εἰς σωτηρίαν, εὐλογημένη Πανύμνητε.

Χαῖρε ἄνθος ἡγνισμένον ἀρδείαις τοῦ Πνεύματος. χαῖρε ἄστρον τηλαυγέστερον πάσης καθάρσεως. χαῖρε ἀγλαόδοχε κρατὴρ Πιστῶν ἀειζωΐας, Μαρία Μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Ὠδὴ, ϛ'. Τὸν Προφήτην Ἰωνᾶν.

Χαῖρε λύχνε φαεινέ. χαῖρε φῶς ἀειλαμπές. χαῖρε πλοῦτε νοητέ. χαῖρε Μήτηρ τοῦ Θεοῦ, Πανάμωμε. χαῖρε ἡ μόνη Θεὸν κυήσασα.

Χαῖρε βάσις ἀσφαλής. χαῖρε στάσις ἀστραπῆς. χαῖρε Νύμφη τοῦ Πατρός. χαῖρε Μήτηρ τοῦ Χριστοῦ, Πανύμνητε, τοῦ Κόσμου σκέπη. χαῖρε ἡ πάντων ἐλπίς.

Χαῖρε λύσις τῆς ἀρᾶς. χαῖρε φύλαξ εὐσεβῶν. χαῖρε πάθη κατ' ἐχθρῶν. χαῖρε τεῖχος ἀσκητῶν, ἀκήρατε, Θεοῦ τοῦ Λόγου Μήτηρ ἀνύμφευτε.

Χαῖρε κλίμαξ νοητὴ, ἀπὸ γῆς πρὸς Οὐρανόν. χαῖρε πύλη τοῦ φωτός. χαῖρε καύχημα Πιστῶν, Πανάχραντε, πάντων κτισμάτων ὡς ὑπερέχουσα.

Κάθισμα εἰπέ. Μαρία τὸ σεπτὸν, τοῦ Δεσπότου δοχεῖον.

Ὠδὴ, ζ. Σὲ νοητὴν Θεοτόκε κάμινον.

Χαῖρε ψυχῶν ὅρμος ὁ γαλήνιος. χαῖρε παστὰς χρυσοειδής. χαῖρε κλίνη Βασιλική. χαῖρε ἀστραπόμορφε. χαῖρε Μητροπάρθενε. δι' ἧς ἡμῖν ἐξανέτειλεν, ὁ φωτισμὸς τοῖς ἐν σκότει, Χριστὸς ὁ ὑπερένδοξος.

Χαῖρε σαφὴς νοσημάτων ἴασις, τῶν προστρεχόντων ἐπὶ σοί. χαῖρε σκέπη πολυκλεής. χαῖρε εὐσυμπάθητε. χαῖρε ῥοῦς ἀέναος, τὸν ἱλασμὸν πελαγίζουσα. καὶ νοσημάτων κρουνοὺς ἀποξηραίνουσα.

Χαῖρε ζωῆς ἀπαρχὴ καὶ γέφυρα, διαβιβάζουσα Λαοὺς, ἀπὸ τῆς γῆς πρὸς Οὐρανόν. χαῖρε οἰκητήριον, ἄχραντον ἀκήρατον, Θεοῦ τοῦ Λόγου ὡς ηὐδόκησε. χαῖρε Πιστοὺς φωσφοροῦσα λυχνία τὰ χαρίσματα.

Χαῖρε πηγὴ ἀειζώου νάματος. χαῖρε Παράδεισε τρυφῆς. χαῖρε τεῖχος τὸ τῶν Πιστῶν. χαῖρε Ἀειπάρθενε. χαῖρε μόνη Δέσποινα. δι' ἧς ἡμῖν ἐξανέτειλεν, ὁ αἰνετὸς τῶν Πατέρων.

Ὠδὴ, ή. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

Χαῖρε αὐγὸς Ἥλιον Χριστὸν, εἰσάξασα τῷ Κόσμῳ, τὸ κάλλος τῆς Βασιλείας τοῦ Χριστοῦ. χαῖρε Ἁγνὴ χαρᾶς ἡμῖν πρόξενος. εὐλογοῦμεν πάντα τὰ ἔργα τὸν ἀχρονόνσου τόκον. καὶ σὲ καταχρέος γεραίρομεν ἀπαύστως.

... πάγχρυσε Θεόν, ὡς μάννα δεξαμένη. ὡς ῥεῖθρον ἀειζώας

ΧΑ... Λαοῖς. χαῖρε σεμνή, ὦ χαῖρε ἀκήρατε Θεομῆτορ. χαῖρε Ὀρθο-...μων καὶ προστασία. χαῖρε τῆς ψυχῆς μου ἐλπὶς ἀρραγεστάτη.

ΧΑῖρε ῥάβδος ἡ νικοποιός, πάντων τῶν ἀντιπάλων, συνθλῶσα τῇ σῇ πρεσβείᾳ τὰς ἐπάρσεις κραταιῶς. ὦ χαῖρε Θεόνυμφε Παναγία. χαῖρε μοναζόντων κραταίωμα καὶ φύλαξ. χαῖρε τῆς ψυχῆς μου καταφυγὴ καὶ σκέπη.

ΚΟίμισόν μου δὴ τὰς ἐμπαθεῖς ὀρέξεις. παθῶν τε τῶν ψυχοφθόρων τὰ ἰνδάλματα Ἁγνή, εἰς τέλος ἐξάλειψον Θεομῆτορ. ἵνα δοξάζω ἀεὶ καὶ εὐλογῶ σε, τὴν μόνην αἰτίαν τῆς πάντων σωτηρίας.

Ὠδὴ θ΄. Τύπον τῆς Ἁγνῆς.

ΧΑῖρε Θεοτόκε Δέσποινα. χαῖρε τὸ ὕψος τῆς σοφίας ἡ τέξασα. σοφίαν καὶ Λόγον τοῦ Πατρὸς ἐνυπόστατον. χαῖρε πέλαγος γνώσεως ἄπειρον. χαρᾶς ἀδιαδόχου, καταξιοῦσα τοὺς τιμῶντάς σε.

ΧΑῖρε χελιδὼν ἡ εὔσημος. περιστερὰ τὴν γαλήνην εἰσάξασα. χαῖρε βασίλειον. χαῖρε τὸ ἄνθος τῆς φύσεως. ἀλατόμητον ὄρος Παντάνασσα. χαῖρε Παρθενομῆτορ, ἐλπὶς ἀνθρώπων ἀκαταίσχυντε.

ΧΑῖρε κρίνον ὄντως εὔοσμον. ῥοδωνία χαρίτων Λαοῖς σωτήριος. χαῖρε ἀστραπή, τὸν μαργαρίτην εἰσάγουσα. χαῖρε φύσεως ὅλης τὸ ἔξοχον. πασῶν Ἐπουρανία. χαῖρε ἐλπὶς μου ἀκαταίσχυντε.

ΧΑῖρε πάντων τὴν ζωὴν ἡ τέξασα. χαῖρε σεμνὴ τὸ κατάσκιον. χαῖρε βάσις καὶ στάσις καὶ κίνησις. Μαρτύρων καὶ Ὁσίων, καὶ Ἀποστόλων τὸ ἑδραίωμα.

Στιχηρὰ Προσόμοια. Τῶν Οὐρανίων ταγμάτων.

ΑΝεκαινίσθη ὁ Κόσμος ἐν τῇ κυήσει σου. Θεογεννήτωρ Κόρη, τῶν πιστῶν σωτηρία. καὶ ἄγρυπνος προστάτις τῶν εὐσεβῶν, αἰτουμένων σε Ἄχραντε. μὴ διαλίπῃς πρεσβεύουσα ἐκτενῶς, ὑπὲρ πάντων τῶν ὑμνούντων σε.

ΟΙ συνεχόμενοι θλίψεσιν ἀδοκήτοις Ἁγνή· σὲ προστασίαν μόνην, κεκτημένοι Παρθένε, βοῶμεν εὐχαρίστως, σῶσον ἡμᾶς. Παναγία Θεόνυμφε. σὺ γὰρ ὑπάρχεις τοῦ Κόσμου καταφυγή, καὶ ἀντίληψις τοῦ γένους ἡμῶν.

ΔΕδοξασμένη ὑπάρχεις ἐν γενεαῖς γενεῶν. Παρθενομῆτορ Κόρη, Θεοτόκε Μαρία. τοῦ Κόσμου προστασία, τεκοῦσα σαρκί, τὸν Υἱὸν τοῦ ἀνάρχου Πατρός, καὶ συναΐδιον Πνεύματι ἀληθῶς. ὃν ἱκέτευε σωθῆναί με.

ΤΩν Οὐρανίων ταγμάτων τὸ ἀγαλλίαμα, τῶν ἐπὶ γῆς ἀνθρώπων, κραταιὰ προστασία, Ἄχραντε Παρθένε, σῶσον ἡμᾶς, τοὺς εἰς σὲ καταφεύγοντας, ὅτι ἐν σοὶ τὰς ἐλπίδας μετὰ Θεόν, Θεοτόκε ἀνεθέμεθα.

ΤΗ,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂Ι ΔΕΥΤΕΡΑ͂Ι ἙΣΠΕΡΑΣ,

## ΚΑΝΩ͂Ν ΕἸΣ ΤῊΝ

# ὙΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

Ὠδὴ, α'. ἦχος, α'. Σοῦ ἡ τροπαιοῦχος δεξιά.

Ἀῤῥήτως συνέλαβες Θεόν. καὶ ὑπὲρ φύσιν αὐτὸν ἀπεκύησας. Δέσποινα Παναγίαχραντε. τοὺς γηγενεῖς πταισμάτων ἀπαλλάττουσα. ὅθεν δυσωπῶ σε, πυρὸς γεέννης με λυτρῶσαι.

Πελάγει βυθίζομαι δεινῶς, ἁμαρτιῶν ἀμετρήτων καὶ θλίψεων. ἀλλὰ κυβερνήσει σου, τῆς δυνατῆς πρεσβείας παναμώμητε. πρὸς γαλήνην θείαν, τῆς μετανοίας καθόρμισον.

Ἅγιόν σε Τέμενος ἱερῶν, ὁ ἐν Ἁγίοις ἐπαναπαυόμενος. Ἅγιος Θεὸς ἡμῶν. Ὑπεραγία Θεοτόκε ᾤκησε, τὴν ἡγιασμένην, καὶ θεοδόχον γαστέρα σου.

Χαῖρε ἡ παγκόσμιος χαρά. χαῖρε τοῦ γένους ἡμῶν ἡ εὐγένεια. χαῖρε ἡ τιμήσασα, τῷ ὑπερτίμῳ καὶ ἀσπόρῳ τόκῳ σου, πάντιμε Μαρία, βροτῶν τὴν φύσιν τὴν ἄτιμον.

Ὠδὴ, γ'. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν·

Νομὴν τοῦ θανάτου καὶ φθορᾶς, ἀνέστειλας κυήσασα, τὸν τῆς ζωῆς ταμίαν καὶ πρύτανιν. διό σου Κόρη Πάναγνε δέομαι. τὴν ψυχήν μου φώτισον, καὶ τὸν νοῦν ἁγίασον, καὶ ζωῆς κοινωνόν με ἀνάδειξον.

Δολίως με δούλοις πονηροῖς, Θεοῦ ἀπολιθήσασι, δεδουλωμένον καὶ ὑποκύψαντα, ἐλευθερίας θείας ἀξίωσον. καὶ τοῖς δούλοις σύνταξον, τοῦ Υἱοῦ σου Δέσποινα. καὶ αὐτῷ με δουλεύειν ἐνίσχυσον.

Ἐλέους ὑπάρχουσα πηγή. καὶ πέλαγος χρηστότητος. καὶ συμπαθείας ἄβυσσος ἄπειρος. τὰς ἀναβλύσεις τῶν ἐγκλημάτων μου, ἐν ἐλέει ξήρανον, ἐλεῆμον Δέσποινα. καὶ ἐλέους σου δεῖξόν με μέτοχον.

Σὲ σκήνωμα δόξης τοῦ Θεοῦ, ὡραῖον ἐπιστάμενος. περικαλλῆ τε οἶκον ἠγάπησα. Θεογεννῆτορ τὴν σὴν εὐπρέπειαν. διὸ σκηνωμάτων με τῶν ἐν ᾅδου λύτρωσαι. καὶ σκηναῖς Οὐρανοῦ κατασκήνωσον.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, δ΄. Ὅρος σε τῇ χάριτι.

Ὄμβρισον σταγόνας μοι σεμνὴ κατανύξεως, κεχερσωμένην τὴν ψυχὴν, ἐξ ἐπομβρείας τῶν παθῶν. καὶ πηγὰς ὀμβρίζειν με, καθαρτικῶν δακρύων Κόρη ἀξίωσον, ἡ τὸν Οὐράνιον ὄμβρον κυήσασα.

Ἵλεων Δεσπότην καὶ οἰκτίρμονα τέτοκας. ὅνπερ ἱλέωσαι κἀμοὶ προσκεκρουκότι καὶ πολλὰ, τοῦτον παροργίζοντι. διηνεκῶς καὶ ἱλασμόν μοι πρυτάνευσον, ἁμαρτιῶν ὑπεράμωμε Δέσποινα.

Τείχισον τὸ τεῖχος τῶν Πιστῶν Ἀπειρόγαμε, τῷ θείῳ φόβῳ τὴν ἐμὴν, ἐρρυπωμένην ἡδοναῖς διάνοιαν ἄβατον, ταῖς τῶν λῃστῶν ἐπιδρομαῖς ἀποφαίνουσα, καὶ τῶν ἐχθρῶν ταῖς ἐφόδοις ἀνάλωτον.

Νήπιον παιδίον διὰ ἔλεος ἄφατον, γεννώμενον Χριστὲ, τὸν προαιώνιον Θεὸν, νεᾶνις ἀπείρανδρος, ὑπερφυῶς ἐγέννησε διορθούμενον, τὸν πλανηθέντα Ἀδὰμ ὥσπερ νήπιον.

Ὠδὴ, ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Ἐλεήμων ἐλεήμονος Λόγου λοχεύτρια. τὴν ψυχήν μου ἐν ἐλέει σου θείῳ ἐλέησον· καὶ τῆς κατεχούσης με, καὶ τυραννούσης ἁμαρτίας, καὶ συνηθείας ἀπάλλαξον.

Μὴ ἐάσῃς ἐν τῇ Κρίσει φλέγεσθαί με Δέσποινα, τῶν ζητούντων συλλαβεῖν με, δαιμόνων ἐπίχαρμα, ἀλλὰ ἀκατάκριτον τῷ τοῦ Υἱοῦ σου Κριτηρίῳ, παραστῆναι ἀξίωσον.

Ὡς αἰτίαν τῆς ἡμῶν Θεοτόκε θεώσεως, καταχρέος οἱ Πιστοί σε ἀεὶ μεγαλύνομεν· πολλὰ μεγαλεῖα γὰρ, ὁ Δυνατὸς ἐποίησέ σοι, ὡς προεφήτευσας Ἄχραντε.

Λάμπρυνόν μου τὴν στολὴν τῆς ψυχῆς, ἣν ἐζόφωσα, τῶν παθῶν μου σκοτειναῖς ἀμαυρότησι Δέσποινα, καὶ πρὸς τὸν ἀκήρατον, Θεοῦ εἰσάγαγε νυμφῶνα, ἔνδυμα γάμου φοροῦντά με.

Ὠδὴ, ς΄. Ἐκύκλωσεν ἡμᾶς.

Ὡς Κύριον Δεσπότην πάντων τέξασαν, Κυρίαν σε καὶ Δέσποιναν, ἐπιστάμενος Παρθένε δυσωπῶ· ῥῦσαι τῶν παθῶν τῆς δεσποτείας με, καὶ τῆς αὐτῶν κυρείας με ἐλευθέρωσον.

Κυκλώσαντες ἐκύκλωσάν με Πάναγνε, κηρίον ὡσεὶ μέλισσαι, ἐν ἀκάνθαις ἐξεκαύθησαν ὡς πῦρ, φλόγα δριμεῖαν ἐξάραντες, οἱ ἐμπαθεῖς ἐν τῇ ψυχῇ μου λογισμοὶ σῶσόν με.

Νοσούντων ἰατρὸν, πιπτόντων ἔγερσιν, πταιόντων ἱλαστήριον, Θεοτόκε σὲ γινώσκων ἀσφαλῶς, δάκρυσι προσπίπτω καὶ κραυγάζω σοι· ὡς δυνατὴ αὐτή με σῶσον τῇ μεσιτείᾳ σου.

Νομί-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΝΟμίμων φυσικῶν αὐδὲ θεν τέτοκας, Παρθένε ἀπειρόγαμε, ἀναπλάττοντα ἡμῶν τὴν σύμβιον, Λόγον τοῦ Θεοῦ τὸν ἐνυπόστατον· ὃν ἐκτενῶς, σωθῆναι πάντας ἡμᾶς ἱκέτευε.

Κάθισμα. ἦχος, ά. Χορὸς Ἀγγελικός.

ΤΟ' μέγα τῶν Πιστῶν, καὶ ἀπόρθητον τεῖχος. τὴν τῶν ἁμαρτωλῶν, κραταιὰν προστασίαν. τὸ ἄσυλον φρούριον, καὶ στερρὸν καταφύγιον. ἱκετεύουσε, Θεογεννήτρια Κόρη. σύ μοι πρόστηθι, ἐν τῇ ἡμέρᾳ τῆς δίκης, καὶ σῶσόν με Δέσποινα.

Ὠ'δή, ζ'. Σὲ νοητὴν Θεοτόκε κάμινον.

ΟʼΛον ἰδοὺ ἐμαυτὸν προσάγωσοι, Θεογεννῆτορ ὁλικῶς. καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν, σοὶ προσανατίθημι. τὴν ἐπιθυμίαν μου, καὶ τὴν ἔνουσάν μοι ἔφεσιν, ὁλοχερῶς ἀνατείνω πρὸς Σὲ, σῶσόν με Δέσποινα.

ΗʼΔη θρηνῶ ἐμαυτὸν ὁ ἄθλιος, ἄξια θρήνων πεπραχώς· καὶ ὡς ἤδη κατακριθεὶς, ὁ αὐτοκατάκριτος, πρὸ τῆς κατακρίσεως, ὀδυνηρῶς καταδύρομαι. Μῆτερ Θεοῦ, ἡ ἐμὴ βοηθὸς μὴ ἐπιλάθῃ μου.

ΟἸ'μοι ψυχὴ ὁ καιρὸς συντέτμηται. νῦν ἐπὶ θύραις ὁ Κριτής. τὸ Κριτήριον εὐπρεπές. θρόνοι ἑτοιμάζονται. Ἄγγελοι προτρέχουσιν. οἱ ἐκλεκτοὶ συναθροίζονται. τί οὖν σαυτὴν οὐ πενθεῖς, καὶ θρηνεῖς ἀμετανόητε;

ΒΑ'τος ποτὲ ἄφλεκτος Πανάμωμε, τὴν σὴν εἰκόνιζε νηδύν· οὐ γὰρ ἔφλεξέ σε τὸ πῦρ, ὅλως τῆς Θεότητος· ὅθεν ἱκετεύω σε· πυρὸς ἀσβέστου με λύτρωσαι· ὅπως ὑμνῶ ἀσιγήτως, Ἁγνὴ τὰ μεγαλεῖά σου.

Ὠ'δή, ή. Ἐν καμίνῳ παῖδες.

ΛΑμπομένη φέγγει νοητῷ τῷ τῆς Θεοτοκίας, ὑπέρφωτε Θεοτόκε τὴν ζοφώδη μου ψυχὴν, φωτίσασα λαμπρινὸν, ἐκμειοῦσα τῆς ἁμαρτίας τὸ σκότος καὶ τὴν νύκτα, καὶ πρὸς μετανοίας αὐγήν με ὁδηγοῦσα.

ΩʽΡαιωθῆς θείαις καλλοναῖς, ἀσύγκριτον ἐν κάλλει, τὸν Λόγον ἀποκυήσασα Πανάμωμε Θεοῦ, τὸν ταῖς ὡραιότησι ταῖς ἐνθέοις πάντων τὰς καρδίας λαμπρύνοντα τῶν πίστει, ἀνυμνολογούντων αὐτὸν εἰς τοὺς αἰῶνας.

ΙʽΕραῖς σε πόρρωθεν φωναῖς, ἐδήλωσαν Προφῆται, Μητέρα σε τοῦ Δεσπότου, πανάμωμε γενήσεσθαι Θεοῦ· ᾧ πάντες κραυγάζομεν. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

ΩʽΣ ὡραία, ὡς περικαλλὴς, Παρθένε τὸν ὡραῖον, ἐν κάλλει ὑπὲρ αἰτίαν, ἀπεκύησας Χριστόν. ᾧ πάντες κραυγάζομεν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, θ΄. Τύπον τῆς Ἁγνῆς λοχείας σου.

Ἵνα χαρμοσύνως ᾄσμασι, χαριστηρίοις Κόρη καταγεραίρωσε. ἵνα διὰ πάσης μου ζωῆς μεγαλύνωσε· ἐξελοῦ με ἐκ στόματος λέοντος, δεινῶς ὠρυομένου, καὶ καταβρῶξαι με σφαδάζοντος.

Ἄνω τὴν ἐμὴν διάνοιαν, ἐκ τοῦ γεώδους βάθους ἄρασα, Δέσποινα τὰ ἐν Οὐρανοῖς διὰ παντὸς ἐνοπτρίζεσθαι, καὶ φαντάζεσθαι κάλλη ἀξίωσον, ὡς αἱ τῇ θεωρίᾳ τῶν ἀϊδίων ἐπευφραίνονται.

Ὤφθης ἱερὸν Ἀνάκτορον, καὶ καθαρὸν Παρθένε Χριστοῦ παλάτιον, τοῦ πρὸ τῶν αἰώνων ἀληθῶς Βασιλεύοντος, καὶ κρατοῦντος ἁπάσης τῆς Κτίσεως· διό μου τὴν καρδίαν, ἐξ ἀκαθάρτων παθῶν κάθαρον.

Στάμνον ἱερὰν καὶ τράπεζαν, καὶ χρυσαυγῆ λυχνίαν καὶ θρόνον ἅγιον, ἄψαυστον σκηνὴν, καὶ ἀχειρόπλοκον θάλαμον, καὶ παστάδα χρυσῆν, καὶ θεόγραφον πλάκα, καὶ θεοδόχον κλίνην, γινώσκομέν σε Πάναγνε.

Στιχηρὰ, ἦχος, α΄. Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Ἀφθόρως ἐκύησας Θεὸν, τὸν φθορὰν μειώσαντα, καὶ ἀφθαρσίαν πηγάσαντα, ἄφθορε ἄμωμε. διὸ δυσωπῶσε, τοῖς δεινοῖς φθαρέντα με, πρεσβείαις σου Ἁγνὴ ἀνακαίνισον, ἵνα δοξάζωσε, ἵνα πόθῳ μεγαλύνωσε, τὴν τὸ γένος ἡμῶν μεγαλύνασαν.

Τὸ πῦρ τῆς Θεότητος Χριστὸν, ὑπεδέξω Πάναγνε, καὶ ἀκατάφλεκτος ἔμεινας. διόσου δέομαι, τοῦ πυρός με ῥῦσαι, τῇ θερμῇ πρεσβείᾳ σου, τοῦ τῆς αἰωνιζούσης κολάσεως, ὡς παντοδύναμος, καὶ φιλάνθρωπος ὑπάρχουσα, οἷα Μήτηρ τοῦ παντελεήμονος.

Πανύμνητε Δέσποινα ἐλπὶς, τῶν Πιστῶν καὶ στήριγμα, καταφυγὴ καὶ βοήθεια, σὲ ἱκετεύομεν, ἐκ παντὸς κινδύνου, τοὺς δούλους σου λύτρωσαι, τοὺς πίστει προσκυνοῦντας τὸν τόκον σου· αὐτὸν πρεσβεύουσα, καταπέμψαι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ἰδοὺ σοι προσέρχομαι Ἁγνὴ, καὶ βοῶ τὸ ἥμαρτον. μὴ ἀποστρέψῃς τὸν δοῦλόν σου κατῃσχυμμένον με, καὶ ἠπορημένον, ἔχεις γὰρ τὸ δύνασθαι. ὡς Μήτηρ τοῦ Ὑψίστου ὑπάρχουσα. ὃν καθικέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂͂͂Ι ΤΡΙ΄ΤΗι ΕʹΣΠΕ΄ΡΑΣ,

## ΚΑΝΩ΄Ν ΕΙ'Σ ΤΗ'Ν

## ΥʹΠΕΡΑΓΙ΄ΑΝ ΘΕΟΤΟ΄ΚΟΝ.

Ὠδὴ, ά. ἦχος, ά. Ὠδὴν ἐπινίκιον.

Ἡ Μόνη τὸν ἄχρονον Θεὸν ἐν χρόνῳ, τεκοῦσα σαρκούμενον, Παναγία Ἄχραντε, πάντα τὰ χρόνια, τῆς παναθλίας μου ψυχῆς, πάθη θεράπευσον.

Τὰ ἐξαύματα Πάναγνε τὰ τῆς ψυχῆς μου, καρδίας τὴν πώρωσιν, καὶ τοῦ νοὸς τὰς ἐκτροπὰς, ἀφάνισον ὡς ἀγαθὴ, ταῖς σαῖς δεήσεσι.

Τὸ φῶς ἡ κυήσασα τὸν λυτρωτήν μου, τοῦ σκότους με λύτρωσαι, καὶ βασάνων Ἄχραντε, τῶν αἰωνίων ἐκεῖ, ὅπως σωζόμενος ὑμνῶ, τὴν εὐσπλαγχνίαν σου.

Ὠδὴν κατανύξεως τῇ Θεοτόκῳ, θερμῶς προσενέγκωμεν, ψυχή μου ὦ τάλαινα, βεβηλωθεῖσα κακῶς, ἵνα ῥυσθῶμεν ἐκ πυρὸς, τοῦ αἰωνίζοντος.

Ὠδὴ, γ΄. Στερεωθήτω ἡ καρδία μου.

Τῆς στειρευούσης διανοίας μου, ἀκαρπίαν πᾶσαν ἀφάνισον, καὶ καρποφόρον ἀρεταῖς, τὴν ψυχήν μου ἀνάδειξον, Παναγία Θεοτόκε, τῶν Πιστῶν ἡ βοήθεια.

Ῥῦσαι με πάσης περιστάσεως, καὶ πολλῶν σκανδάλων τοῦ ὄφεως, αἰωνιζούσης τε φλογὸς, καὶ τοῦ σκότους Πανάμωμε, ἡ τὸ φῶς ἀποκυήσασα, ἡμῖν τὸ ἀνέσπερον.

Τὸ φρικτὸν Παρθένε Κριτήριον, καὶ τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον, καὶ τὴν ἀπόφασιν Ἁγνὴ, τὴν δεινὴν ὅλως δέδοικα. σπεῦσον, σῶσον πρὸ τοῦ τέλους ἀγαθὴ τὸν οἰκέτην σου.

Θεονύμφευτε ἀπειρόγαμε, τὰς ἡμῶν δεήσεις προσάγαγε, τῷ Ποιητῇ σου καὶ Θεῷ, τῷ τεχθέντι ἐκ μήτρας σου, ὅπως εὕρωμεν τελείαν τῶν δεινῶν ἀπολύτρωσιν.

Ὠδὴ, δ'. Ἐν Πνεύματι προβλέπων.

ΠΑρθένε Θεοτόκε, ἀμόλυντε σκηνὴ, μολυνθέντα πταίσμασι καθάρισόν με νῦν, τῆς οἰκτιρμῶν σου καθαρωτάταις ῥανίσι. καὶ δός μοι χεῖρα βοηθείας ἵνα κράζω· δόξα σοι Ἁγνὴ Θεοδόξαστε.

ΝΑὸς ἡγιασμένος, ἐδείχθης τοῦ Θεοῦ, τοῦ ἐν σοὶ σκηνώσαντος Παρθένε ὑπὲρ νοῦν. αὐτὸν δυσώπει ἁμαρτιῶν ἡμᾶς ῥύπου, ἀποκαθᾶραι ὅπως οἶκος γνωρισθῶμεν. καὶ κατοικητήριον Πνεύματος.

ἘΛέησόν με μόνη, ἐλέους τὴν πηγὴν, Θεοτόκε τέξασα. καὶ λῦσον τὴν δεινὴν, ψυχῆς μου νόσον καὶ πώρωσιν τῆς καρδίας. δακρύων ῥεῖθρα καὶ κατάνυξιν πρὸ τέλους. δοῦσα καὶ δεινῶν ἀπολύτρωσιν.

ἘΞέστησαν ὁρῶσαι Ἀγγέλων στρατιαὶ, πῶς ὁ ἀθεώρητος μορφῇ τῇ καθ' ἡμᾶς, ἐκ σοῦ ὡράθη Παρθένε Θεοκυῆτορ. ὃν ἐκδυσώπει σωτηρίας ἀξιῶσαι. πάντας τοὺς πιστῶς σε δοξάζοντας.

Ὠδὴ, ε'. Τὴν σὴν εἰρήνην δὸς ἡμῖν.

ΝΕκρόν με ἀπειργάσατο ποτὲ ἐν τῇ Ἐδὲμ, γεῦσις πονηρά. ζωὴν δὲ κυήσασα Ἁγνὴ, τὸν ξύλῳ πάλαι θνήξαντα, ζωοποίησόν με, καὶ βράβευσον εἰρήνην.

ΔΙάσωσόν με Πάναγνε κινδύνων χαλεπῶν. ἔγειρον παθῶν κοπρίας καὶ ῥῦσαί με, αἰχμαλωσίας καὶ κακώσεως, πονηρῶν δαιμόνων τὸν σὸν ἀχρεῖον δοῦλον.

ΤΑὰς κόρας τῆς ψυχῆς μου διάνοιξον Ἁγνὴ, βλέπειν με τρανῶς τὴν θείαν λαμπρότητα. καὶ τὴν σὴν δόξαν Παναμώμητε. ὅπως ἐλέους τύχω καὶ αἰωνίου δόξης.

ΒΑσίλισσαν Παρθένον σε κηρύττει ὁ Δαβὶδ, Ἄχραντε Ἁγνὴ, διὸ ἱκετεύω σε, τῆς Οὐρανίου Βασιλείας με, ποίησον κληρονόμον, ἵνα σε μακαρίζω.

Ὠδὴ, ς'. Τὸν Προφήτην Ἰωνᾶν.

ΜΟλυνθέντα με πολλαῖς, ἁμαρτίαις τὴν ψυχὴν, δυσωπῶ σε ἐκτενῶς, τὴν ἀμόλυντον σκηνὴν, ἀπόπλυνον. παντοίου ῥύπου τῇ μεσιτείᾳ σου.

ΚΥβερνῆτις μοι γενοῦ, θαλαττεύοντι Ἁγνὴ, ἐν πελάγει χαλεπῷ τοῦ τοῦ βίου πειρασμῶν. καὶ ἴθυνον πρὸς σωτηρίας ὁδὸν καὶ σῶσόν με.

ἉΓίασμα τοῦ σκηνὴ, δεδειγμένη Μαριὰμ, μιανθεῖσαν ἡδοναῖς τὴν ἀθλίαν μου ψυχὴν, ἁγίασον, καὶ θείας δόξης μέτοχον ποίησον.

ΤΗν Μητέρα τοῦ Θεοῦ, καὶ καλὴν ἐν γυναιξὶ, δυσωποῦσε ἐκτενῶς, μὴ παρίδῃς με Ἁγνὴ, ἀλλ' οἰκτειρον, καὶ πάσης βλάβης σῶον συντήρησον.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ἐγγίζει ὁ Κριτὴς, ἐπὶ θύραις τὸ τέλος. γρηγόρησον ψυχὴ, καὶ ἐκ βάθους καρδίας, στενάξασα βόησον, τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν. ἐλευθέρωσον τῶν φοβερῶν με βασάνων, καὶ ἐν τόπῳ με, τῆς ἀναπαύσεως τάξον, Πανάμωμε Δέσποινα.

Ὠδὴ, ζ'. Τοὺς ἐν καμίνῳ παῖδας.

Τὴν μιανθεῖσαν πάθεσι ψυχὴν, ἁγίασόν με Δέσποινα Πανάχραντε Ἁγνὴ, καὶ τοῦ νοὸς δεινὰς αἰχμαλωσίας, καὶ καρδίας πώρωσιν. καὶ τῶν δαιμόνων ὁρμὰς τάχος ἀφάνισον.

Νενεκρωμένον πάθεσι σαρκὸς, Πανάμωμε ζώωσον τὸν νοῦν μου καὶ Θεῷ, τὰ ἀρεστὰ ἐπιτελεῖν ἐνίσχυσόν με. ἵνα μεγαλύνω σε. ἵνα δοξάζω ἀεὶ τὴν εὐσπλαγχνίαν σου.

Ῥῦσαι γεέννης Δέσποινα Ἁγνὴ τὸν δοῦλόν σου, ῥῦσαι καταδίκης με φρικτῆς τοῦ σοῦ Υἱοῦ, ῥῦσαι κολάσεως ἁπάσης ἐμὲ τὸν κατάκριτον, ἐνδυσωποῦσα Θεὸν τὸν ὑπεράγαθον.

Νέκρωσον τάχει Δέσποινα Ἁγνὴ, τὰ τῆς σαρκὸς πάθη καὶ ψυχῆς μου ταπεινῆς, ῥύπον δεινὸν ἀπόσμηξον Παρθένε, καὶ λογοθεσίου με Δαιμόνων τῶν πονηρῶν ῥῦσαι καὶ σῶσόν με.

Ὠδὴ, η'. Ὃν φρίττουσιν Ἄγγελοι.

Σαρκοῦται ὁ ἄσαρκος ἐκ σοῦ θεοπρεπῶς. ὃν αἴτησαι Πάναγνε τὰ πάθη τῆς ἐμῆς, σαρκὸς θανατῶσαι καὶ ζωῶσαι με, τὴν νενεκρωμένην ψυχὴν ταῖς ἁμαρτίαις.

Ἰάσω τὸ σύντριμμα Ἀδὰμ τοῦ χοϊκοῦ, Σωτῆρα κυήσασα Πανάχραντε Θεόν. αὐτὸν ἐνδυσώπει τὰς πληγὰς τῆς ἐμῆς, ψυχῆς θεραπεῦσαι ἀνίατα νοσούσης.

Ἀνάστησον κείμενον εἰς βάθη με κακῶν. τοὺς νοῦν πολεμοῦντάς με πολέμησον ἐχθροὺς, ἐξωθοῦντα ἀτόποις ἡδοναῖς τὴν ψυχὴν, Ἁγνὴ μὴ παρίδῃς, ἀλλ' οἴκτειρον καὶ σῶσον.

Ἰάτρευσον Ἄχραντε τὰ πάθη τῆς ἐμῆς, καρδίας κυήσασα τὸν πάντων ἰατρόν. καὶ τῆς τῶν δικαίων δεῖξον μέτοχον, Παρθένε μερίδος, Χριστὸν ἐνδυσωποῦσα.

Ὠδὴ, θ'. Τὴν φωτοφόρον νεφέλην.

Φιλαμαρτήμων ὑπάρχων, ἐν ἀμελείᾳ διάγω. καὶ τὸ Κριτήριον Ἁγνὴ τὸ ἀδέκαστον τρέμω. ἐν ᾧ με τήρησον ταῖς σαῖς ἁγίαις δεήσεσιν, ἀνεύθυνον, ἀκατάκριτον ὅπως, ὡς προστάτιν μακαρίζω σε ἀεί.

Φρίττω τὸ Βῆμα Παρθένε, καὶ τὸ ἀλάθητον ὄμμα, τοῦ σοῦ Υἱοῦ, πράξεις αἰσχρὰς ἐπὶ γῆς ἐκτελέσας. καὶ διὰ τοῦτό σοι βοῶ πανευσπλαγ-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

χντε Δέσποινα, βοήθησον, καὶ τῆς τότε ἀνάγκης, ἐξελοῦ με, καὶ διάσωσον Ἁγνή.

Ὡ'Σ φοβερὰ ἡ ἡμέρα, τῆς ἐξετάσεως Κόρη. ὡς ἡ ἀπόφασις φρικτή. ὡς δεινὴ ἡ αἰσχύνη. τίς ὑποστήσεται λοιπὸν, Πανάχραντε Δέσποινα; ἐλέησον, τὴν ἀθλίαν ψυχήν μου, καὶ πρὸ τέλους δός μοι ἄφεσιν Ἁγνή.

ΦΩ'ς ἡ τεκοῦσα τὸ θεῖον, ἐσκοτισμένον με πάσαις, ταῖς μεθοδείαις τοῦ ἐχθροῦ, καὶ ῥαθύμως βιοῦντα, καὶ παροργίζοντα Θεὸν, Πανάμωμε φώτισον, ὁδήγησον, πρὸς καλὰς ἐργασίας, ὡς αἰτία οὖσα πάντων τῶν καλῶν.

Στιχηρὰ προσόμοια. Πανεύφημοι Μάρτυρες ὑμᾶς.

ΝΟ'ός μου σὺ εἶ ἡ χαρμονὴ, καὶ τὸ ἀγαλλίαμα. σὺ τῶν παθῶν μου τὸ ἴαμα, Κόρη Θεόνυμφε. τῶν ἀρρωστημάτων τῆς ψυχῆς μου πανάγνε, ταχεία θεραπεία καὶ λύτρωσις, τῶν συνεχόντων με, πειρασμῶν καὶ καταφύγιον ἐν ἀνάγκαις, διὸ μεγαλύνω σε.

Ε'Λέους ἡ ἄβυσσος ἐμὲ, τὸν βυθὸν ῥυόμενον, ἀκαθαρσίας ἐλέησον, καὶ λοῦσον πάντα με, τῶν παθῶν τὸν ῥύπον, δάκρυσι καθαίρουσα. καὶ θεία κατανύξει λαμπρύνουσα, δι' ἧς δυνήσομαι, λυτρωθῆναι τῆς κολάσεως, ὦ ἀπλαγχνία τοῦ ἐν σοὶ οἰκήσαντος.

ΦΩτὸς ἐνδιαίτημα Ἁγνὴ, μόνη ἐχρημάτισας, τοῦ ἐκ Πατρὸς ἀνατείλαντος, ὅθεν κραυγάζω σοι. τὴν ἐσκοτισμένην, ψυχήν μου τοῖς πάθεσι, φωτὶ τῶν ἀρετῶν καταφαίδρυνον. καὶ ἐν σκηνώμασι, φωτεινοῖς με κατασκήνωσον, ἐν ἡμέρᾳ τῆς ἀνταποδόσεως.

Η῾ Πάντων Βασίλισσα πληθὺς, Ἀσωμάτων τάξεων. καὶ Προφητῶν ἡ ὁμήγυρις, σοφοὶ Ἀπόστολοι. μετὰ τοῦ Προδρόμου, Ἱερεῖς καὶ Μάρτυρες. Ὁσίων καὶ Δικαίων τὰ τάγματα, Χριστῷ πρεσβεύσατε, παρασχεῖν μοι τὴν συγχώρησιν, ἐγκλημάτων ἁπάντων, ὧν ἔπραξα.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂Ι ΤΕΤΑΡΤΗ͂Ι ἙΣΠΕΡΑΣ,

## ΚΑΝΩ͂Ν ΕἸΣ ΤῊΝ

# ὙΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

Ὠδὴ, α΄. ἦχος, α΄. Σοῦ ἡ τροπαιοῦχος δεξιά.

Ὤφθης πλατυτέρα Οὐρανῶν. τὸν μηδαμοῦ χωρητὸν σωματώσασα. τοῦτον οὖν ἱκέτευε. πάσης ἡμᾶς στενοχωρίας ῥύσασθαι. καὶ αἰωνιζούσης Παρθενομῆτορ κολάσεως.

Ἴασαι τὰ πάθη τῆς ἐμῆς, Θεοκυῆτορ καρδίας καὶ ἄφεσιν, αἴτησαι δοθῆναί μοι. ἁμαρτιῶν, ὧνπερ ἀφρόνως ἔπραξα. ὅπως σε δοξάζω, ταῖς σαῖς πρεσβείαις σωζόμενος.

Νεφέλη ὑπάρχουσα φωτὸς, ἡ τὸν τῆς δόξης κυήσασα Ἥλιον, νέφη ἀποσόβησον, τὰ τῶν παθῶν ἐκ τῆς ψυχῆς μου Ἄχραντε, καὶ αἴγλῃ με θείᾳ τῆς μετανοίας καταύγασον.

Ἀῤῥήτως συνέλαβες Θεὸν, καὶ ὑπὲρ φύσιν αὐτὸν ἀπεκύησας. Δέσποινα Πανάχραντε. τοὺς γηγενεῖς πταισμάτων ἀπαλλάττουσα. ὅθεν δυσωπῶ σε. πολλῶν πταισμάτων με λυτρῶσαι.

Ὠδὴ, γ΄. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

Ἰάτρευσον Δέσποινα Ἁγνὴ, τὰ πάθη τῆς καρδίας μου. τὸν ἰατρὸν γὰρ πάντων ἐκύησας· τὰς ἀσθενείας ἡμῶν βαστάσαντα. καὶ τὰς νόσους ἄραντα Χριστὸν τὸν φιλάνθρωπον. καὶ Σταυρὸν δι' ἡμᾶς ὑπομείναντα.

Δολίως ἁρπάσαι με ζητεῖ, ὁ ὄφις ὁ παμπόνηρος· καὶ ἑαυτοῦ ποιῆσαι κατάβρωμα. ἀλλ' οἰκτειρόν με τὸν πεποιθότα σοι. καὶ ἀπράκτους ποίησον, τὰς αὐτοῦ ἐνέδρας τε, καὶ ῥᾳδιουργίας Παναμώμητε.

Ὁ Μόνος ἀόρατος Θεὸς, ὡράθη σωματούμενος, ὑπερβολῇ ἐκ σοῦ ἀγαθότητος. ὃν ἐκδυσώπει ἐξ ἀοράτων με δυσμενῶν λυτρώσασθαι, ἀφειδῶς θλιβόντων μου τὴν καρδίαν Πανάμωμε Δέσποινα.

Ζωῆς κεκτημένος σε φρουρὸν, καὶ τεῖχος ἀπροσμάχητον. καὶ μετὰ τέλος σκέπην σε εὕροιμι, καὶ προστασίαν ἀκαταμάχητον, πρὸς Θεὸν εἰσάγουσαν, καὶ ζωὴν παρέχουσαν αἰωνίαν, καὶ δόξαν Πανάμωμε.

Ὠδὴ,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ω᾽δὴ, δ΄. Ὄρος σε τῇ χάριτι.

ΣΕ᾽ μόνην πασῶν ἐκ γενεῶν ἐκλεξάμενος, ὁ τῶν αἰώνων ποιητὴς, κατεσκήνωσεν ἐπὶ σοί. αὐτὸν οὖν ἱκέτευε ὡς ἀγαθὸν Θεοχαρίτωτε Δέσποινα, τοῦ ἐλεῆσαι ἡμᾶς τοὺς ὑμνοῦντάς σε.

ΩΣ Μήτηρ Χριστοῦ τοῦ ποιητοῦ πάσης Κτίσεως. τοῦτον ἱκέτευε Ἁγνὴ, κατοικτειρῆσαι τὴν ἡμῶν, Παρθένε ἀσθένειαν, καὶ ἱλασμὸν πταισμάτων πᾶσι δωρήσασθαι, καὶ αἰωνίων τερπνῶν τὴν ἀπόλαυσιν.

ΑΓρυπνον τὸ ὄμμα τῆς καρδίας ὡς ἔχουσα, τῇ ἀνυστάκτῳ σου Ἁγνὴ φιλανθρωπίᾳ σωτηρεῖς ἡμᾶς περιέπουσα, καὶ νοητῶν θηρῶν λυτροῦσαι Πανάχραντε, καὶ ὁρωμένων πολέμων καὶ θλίψεων.

Η᾽ Κρίσις ἐφέστηκε. ψυχή μου γρηγόρησον. τῆς ῥαθυμίας τὸν βαρὺν ὕπνον ἀπόθου, καὶ Χριστῷ ἀγρύπνως ἐπιβόησον· τῆς σῆς Μητρὸς ταῖς ἱκεσίαις ἐλέησον, τὸν εἰς βυθόν με κακίας ἐλάσαντα.

Ω᾽δὴ, ε΄. Ὁ φωτίσας.

ΛΑμπρότητι τοῦ ἐκ σοῦ ὑπὲρ νοῦν ἀνατείλαντος, καταύγασον τὰς ἡμῶν διανοίας Παναμωμε. καὶ τὸ σκότος μείωσον τῶν λογισμῶν τῶν ψυχοφθόρων, καὶ ῥυπαρῶν ἐνθυμήσεων.

ΤΟ᾽ πέλαγος εὐσπλαγχνίας Χριστοῦ ἡ κυήσασα, πταισμάτων μου τὸν βυθὸν τὸν ἀμέτρητον ξήρανον. ὄμβρους κατανύξεως παρεχομένη μοι Παρθένε, ταῖς πρὸς Θεὸν μεσιτείαις σου.

ΥΠέρφωτε τοῦ Ἡλίου νεφέλη ἀπέλασον, Παναμωμε τῆς ψυχῆς μου τὸν ζόφον πρεσβείαις σου. καὶ τὸν νοῦν μου φώτισον τῇ ἀμελείᾳ σκοτισθέντα, ὅπως ὑμνῶ σε σωζόμενος.

ΕΠλήθυναν ὑπὲρ ψάμμον θαλάσσης τὰ πταίσματα, τῆς ψυχῆς μου καὶ οὐκ ἔστι μοι ἄφεσις Δέσποινα. ὡς τεκοῦσα πέλαγος τῆς εὐσπλαγχνίας, λύτρωσαί με τῆς κατεχούσης κακώσεως.

Ω᾽δὴ, ς΄. Ἐκύκλωσεν ἡμᾶς.

ΑΝάγαγε Ἁγνὴ ἐκ κατωτάτου με βυθοῦ τῆς ἀπογνώσεως, καὶ πρὸς ὅρμον μετανοίας ἀληθοῦς, ἴθυνόν με δέομαι τὸν δοῦλόν σου· καὶ γὰρ πρὸς σὲ τοὺς ὀφθαλμούς μου ἦρα Πανύμνητε.

ΜΑράνασα βλαστῷ τῷ σῷ Παναμωμε, τὴν πάλαι ἐκβλαστήσασαν, παραβάσεσι κακίαν τοῦ ἐχθροῦ. τοὺς ἐν τῇ ψυχῇ μου ἐκβλαστάνοντας, φθοροποιοὺς καὶ ἀκανθώδεις λογισμοὺς ἔκτιλον.

ΡΥσθῆναι με πυρὸς διαιωνίζοντος, καὶ σκότους ἀμαυρώσεως, καὶ παντοίας Μητροπάρθενε Ἁγνὴ, θλίψεως ἱκέτευε τὸν Κύριον, τὸν ἐκ τῆς σῆς γαστρὸς ἀῤῥήτως ἡμῖν ἐκλάμψαντα.

Νοσοῦν-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Νοσούντων ἴασιν, πιπτόντων ἔγερσιν, πταιόντων ἱλαστήριον, Θεοτόκε σε γινώσκων ἀσφαλῶς, δάκρυσι προσπίπτω καὶ κραυγάζω σοι· ὡς δυνατὴ, αὐτή με σῶσον τὸν ἀπολλύμενον.

Κάθισμα. Τὸν τάφον σου Σωτήρ.

Πρεσβείαν πρὸς Θεὸν, κεκτημένοι σε πάντες, προστρέχομεν πιστῶς τῷ ἁγίῳ Ναῷ σου, αἰτούμενοι βοήθειαν παρὰ σοῦ Ἀειπάρθενε. ῥῦσαι οὖν ἡμᾶς, τῆς τῶν δαιμόνων κακίας, καὶ κολάσεως καὶ καταδίκης φρικώδους, τοὺς σὲ μακαρίζοντας.

Ὠδὴ, ζ'. Σὲ νοητὴν Θεοτόκε κάμινον.

Σάρκα λαβὼν ἐξ ἁγνῶν αἱμάτων σου, ὁ ὑπερούσιος Θεὸς, σὲ προστάτιν τῶν γηγενῶν, ἔδειξε Παναμώμε. ὅθεν σου δεόμεθα· πάσης ἀνάγκης ῥῦσαι τοὺς ψάλλοντας, ὁ αἰνετὸς τῶν Πατέρων.

Πρὸς τὸν ἐκ σοῦ γεννηθέντα Κύριον, γενοῦ μεσίτις ἀγαθὴ, τῆς γεέννης καὶ τοῦ πυρὸς, ὅπως με λυτρώσηται, καὶ καταξιώσῃ με, τῆς Βασιλείας κραυγάζοντα, ὁ αἰνετὸς τῶν Πατέρων.

Θρόνον Θεοῦ καὶ παστάδα ἔμψυχον Θεογεννῆτορ οἱ πιστοὶ, ἐπιγνόντες σε ἀληθῶς πίστει ἐκβοῶμέν σοι, σῶζε τοὺς οἰκέτας σου ἀπὸ πασῶν περιστάσεων, ὅπως ἀεὶ εὐλογῶμεν Ἁγνὴ καὶ προσκυνῶμέν σε.

Ὅλην ἐν σοὶ τὴν ἐλπίδα τίθημι, τῆς σωτηρίας τῆς ἐμῆς. σὲ γὰρ κέκτημαι βοηθὸν, καὶ ἀκαταμάχητον, τεῖχος καὶ κραταίωμα, καὶ ἀσφαλείας βεβαίωσιν, καὶ διὰ σοῦ Βασιλείας τυχεῖν ἐλπίζω Δέσποινα.

Ὠδὴ, ή. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

Νεκρωθεῖσαν πάθεσι πολλοῖς, Παρθένε τὴν ψυχήν μου, τεκοῦσα ζωὴν τῷ Κόσμῳ, ζωοποίησον βοῶν καρδίας εὐθύτητι· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον, καὶ ὑπερυψοῦτε.

Στάμνος πάλαι φέρουσα Ἁγνὴ, ἐτύπωσε τὸ Μάννα. Χριστὸν γὰρ τὸν γλυκασμὸν ἡμῶν ἐβάστασας γαστρὶ, καὶ σαρκὶ ἐκύησας ἐξαιροῦντα πᾶσαν πικρίαν ἀτόπων ἐγκλημάτων, τοὺς ὑπερυψοῦντας αὐτὸν εἰς τοὺς αἰῶνας.

Ναὸς ὤφθης τοῦ Ἐμμανουὴλ, καὶ Πύλη δι' ἧς μόνος, εἰσῆλθε καὶ ἐξῆλθεν, ὡς ἐπίσταται αὐτὸς σώζων τοὺς δοξάζοντας, καὶ ὑμνοῦντας σὲ τὴν ἀπορρήτως, καὶ ἀδιαφθόρως αὐτὸν ἀποτεκοῦσαν.

Σωτηρίας πρόξενος ἡμῖν, ἐφάνης Θεοτόκε, γεννήσασα τὸν Σωτῆρα καὶ Δεσπότην τοῦ παντὸς, διὸ ἱκετεύω σε σωτηρίας καταξιῶσαι τὴν ταπεινὴν ψυχήν μου, τοῦ ὑμνολογεῖν σε πιστῶς εἰς τοὺς αἰῶνας.

Ὠδὴ, θ'. Τύπον τῆς ἁγνῆς.

Φρίττει τῶν Ἀγγέλων τάγματα, τὸν ἐκ τῶν σῶν λαγόνων ἐξανατείλαντα, ὃν ὑπὲρ ἡμῶν Παρθενομῆτορ ἱκέτευε, τῆς φρικτῆς

ὅπως

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ὅπως πάντας λυτρώσηται κολάσεως καὶ σκότους, τοῦ ἐξωτέρου τοὺς ὑμνοῦντάς σε.

Ἔχεις εὐσπλαγχνίας ἄβυσσον, ὡς τεκοῦσα Θεοτόκε Παναύμνητε, ἀγαθότητος Χριστὸν τὸ ἄπειρον πέλαγος. διὰ τοῦτο τοὺς σὲ μεγαλύνοντας, ἐλέησον καὶ ῥῦσαι, τῆς αἰωνίου κατακρίσεως.

Φρίττω ἐννοῶν ἑκάστοτε, τὸ φοβερὸν καὶ πάνδημον Δικαστήριον. πράξεις πονηρὰς φρενοβλαβῶς περικείμενος. καὶ κολάσει ὑπάρχων ὑπόδικος, ἐξ ἧς με Θεοτόκε, τῇ μεσιτείᾳ σου ἐξάρπασον.

Πάσης τῆς ζωῆς μου γέγονας, καὶ προστασία καὶ βεβαία ἀντίληψις, καὶ ἐρρύσω με πολλῶν κινδύνων καὶ θλίψεων, καὶ ἐχθρῶν κακουργίας Πανάχραντε, ἀλλὰ καὶ τοῦ πυρός με τοῦ αἰωνίου ἐλευθέρωσον.

Στιχηρὰ προσόμοια. ά. Πανεύφημοι Μάρτυρες.

Ἰδού σοι προσέρχομαι Ἁγνή, καὶ βοῶ τὸ ἥμαρτον, μὴ ἀποστρέψῃς τὸν δοῦλόν σου κατῃσχυμμένον με, καὶ ἠπορημένον, ἔχεις γὰρ τὸ δύνασθαι, ὡς Μήτηρ τοῦ Ὑψίστου ὑπάρχουσα, ὃν καθικέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Λῃσταῖς περιέπεσα δεινοῖς, ἐγὼ ὁ ταλαίπωρος, τοῖς ἐκ Θεοῦ ὀλισθήμασιν, ὑφ' ὧν ἐκδέδυμαι, τὸν τῆς σωφροσύνης, χιτῶνα Παναμώμε, πληγῶν τε ψυχοφθόρων πεπλήρωμαι, ἀλλ' ἱκετεύω σε. Θεοτόκε μὴ παρίδῃς με, τὰς ἐλπίδας εἰς σὲ γὰρ ἀνέθηκα.

Ὕδωρ μοι κατάπεμψον Ἁγνή, θείας κατανύξεως, δι' οὗ τὸν βόρβορον ἅπαντα ἀποκλυσάμενος, τῶν πλημμελημάτων, καὶ παραπτωμάτων μου, δυνήσομαι τυχεῖν ταῖς πρεσβείαις σου, τῆς ἀναπαύσεως, τῶν ὑδάτων ἔνθα πέφυκεν, ὁ χειμάῤῥους, τῆς τρυφῆς Παναύμνητε.

Ὑπέρτιμε Δέσποινα ἐλπὶς, τῶν Πιστῶν καὶ στήριγμα. καταφυγὴ καὶ βοήθεια, σὲ ἱκετεύομεν. ἐκ παντὸς κινδύνου, ἡμᾶς ἐλευθέρωσον· τοὺς πίστει προσκυνοῦντας τὸν τόκον σου, αὐτῷ πρεσβεύουσα, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂Ι ΠΕ΄ΜΠΤΗΙ, Ε῾ΣΠΕ΄ΡΑΣ,

## ΚΑΝΩ͂Ν ΕΙ᾿Σ ΤΗ͂Ν

# ῾ΥΠΕΡΑΓΙ΄ΑΝ ΘΕΟΤΟ΄ΚΟΝ.

Ὠδὴ, ά. ἦχος, ά. Σοῦ ἡ τροπαιοῦχος δεξιά.

ΨΑλμικῶς τὰς χεῖρας οἱ Πιστοὶ, δεῦτε κροτοῦντες συμφώνως ὑμνήσωμεν, ὄρος τὸ Παναγιον, πύλην Θεοῦ τὴν ὄντως ἀδιόδευτον, κιβωτὸν τὴν θείαν, τοῦ νοητοῦ ἁγιάσματος.

ΧΑῖρε ἡ παγκόσμιος χαρά. χαῖρε τοῦ γένους ἡμῶν ἡ εὐγένεια. χαῖρε ἡ τιμήσασα, τῷ ὑπερτίμῳ καὶ ἀσπόρῳ τόκῳ σου, πάντιμε Μαρία, βροτῶν τὴν φύσιν τὴν ἄτιμον.

ὌΡος τὸ κατάσκιον Θεοῦ, τὸν ὑψηλὸν Οὐρανὸν καὶ εὐρύχωρον, θάλαμον τὸν ἔμψυχον, τὸν εὐθαλῆ καὶ εὐανθῆ Παράδεισον, τὴν Παρθένον Κόρην, ὡς Θεοτόκον ὑμνήσωμεν.

ΡΈουσι χρηστότητες ἐκ σοῦ, καὶ συμπαθείας ἀένναοι ῥύακες, Κόρη πολυΰμνητε, τῆς εὐσπλαγχνίας τὴν πηγὴν γὰρ ἔτεκες, ἧς μεταλαβεῖν με, καὶ ἀπολαῦσαι ἀξίωσον.

Ὠδὴ, γ΄. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

ὩΣ θρόνος πυρίμορφος Ἁγνὴ, ὡς ἔμψυχον παλάτιον, ὡς λογικὸν τοῦ Λόγου Ἀνάκτορον, Θεὸν ἐχώρησας τὸν ἀχώρητον, τῆς στενοχωρίας με, διὸ ἐλευθέρωσον, τῆς ἐν τῷ ᾅδῃ, καὶ σῶσον Πανύμνητε.

ἘΛέους ὑπάρχουσα πηγὴ, καὶ πέλαγος χρηστότητος, καὶ συμπαθείας ἄβυσσος ἄπειρος, τὰς ἀναβλύσεις τῶν ἐγκλημάτων μου ἁπάσας ἐξάλειψον, ἐλεήμων Πάναγνε, καὶ τοῦ ἐλέους δεῖξόν με μέτοχον.

ἭΜαρτον ἱλάθητι Χριστὲ, ἠνόμησα ἐλέησον, ὡς ἐλεήμων καὶ εὔσυμπάθητος, καὶ δώρησαί μοι δακρύων ἄβυσσον, ὅπως ἀποπλύνω μου, τῶν παθῶν τὸν βόρβορον, ταῖς τῆς Ἁγνῆς Μητρός σου δεήσεσι.

ἈΝάνηψον ῥάθυμε ψυχὴ, τὸν ὕπνον ἀποτίναξον, καὶ τὸ νωθρῶδες βάρος ἀπόρριψον· καὶ μετανοίας θερμοῖς τοῖς δάκρυσι, τῇ Μητρὶ τοῦ Κτίστου σου, πρόσπεσον κραυγάζουσα· Θεοτόκε Παρθένε βοήθει μοι.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, δ'. Ὄρος σε τῇ χάριτι.

ΧΑρά τε παγκόσμιος καὶ ἀγαλλίασις πέφυκας, ἀποκυήσασα Χριστὸν, τὴν εὐφροσύνην τῶν βροτῶν· διὸ ἱκετεύω σε Μῆτερ Θεοῦ, χαρᾶς καρδίαν μου πλήρωσον, τῆς ἁμαρτίας τὴν λύπην ἐξαίρουσα.

ΡΕύσαντες οἱ χείμαῤῥοι οἱ τῶν παθῶν τῆς καρδίας μου, τὸν οἶκον ἔπτωσαν Ἁγνὴ, ἡ γεγονυῖα τοῦ Θεοῦ, οἶκος καθαρώτατος, δάκρυά μοι δώρησαι κατανύξεως, καὶ οἶκον δεῖξον τοῦ Πνεύματος ἄξιον.

ΣΤάμνον σε καὶ ῥάβδον, καὶ πασάδα καὶ τράπεζαν, λυχνίαν τε χρυσοφαῆ, καὶ κιβωτὸν παγκαλῆ, τόπον ἁγιάσματος, ὄρος Θεοῦ, ναὸν καὶ πύλην καὶ γέφυραν, σὲ οἱ Προφῆται Παρθένε προήγγειλαν.

ΙΣτᾷ μου τὸν λόγον ἡ αἰσχύνη τῶν ἔργων μου. σβεννύουσι δέ μου τὴν φωνὴν ἡ τῆς ψυχῆς μου ἐκκοπή. δεσμοῖ καὶ τὴν γλῶτταν μου τὸ σιωπειδὸς, καὶ τὴν εὐχὴν ἀναδύομαι, μόνη σιγῇ κράζω Δέσποινα σῶσόν με.

Ὠδὴ, ε'. Ὁ φωτίσας.

ΕΛεῆμον ἐλεήμονος Λόγου λοχεύτρια, τὴν ἀθλίως ῥυπωθεῖσαν ψυχήν μου ἐλέησον, καὶ τῆς κατεχούσης με καὶ τυραννούσης ἁμαρτίας, καὶ συνηθείας ἀπάλλαξον.

ΣΤεναγμόν μου τὸν ἐγκάρδιον πρόσδεξαι Δέσποινα, καὶ γενοῦ μοι ἀγαθὴ παραστάτις καὶ πρόμαχος, ὅτε ἡ ἀθλία μου ψυχὴ χωρίζεται τοῦ σκήνους, πρὸς ἄλλον Κόσμον ἀπαίρουσα.

ΠΑρεσό μοι συνεργὸς καὶ παρήγορος Δέσποινα, ἐν τῇ Κρίσει τῇ φρικώδει, καὶ τὰ προτεινόμενα κατ' ἐμοῦ ἐγκλήματα, καὶ δικαιολογίας ὡς αράχνης μίτους διάσπασον.

ΟΙ'δα, ὅτι ὑπὲρ ἅπαντας ἥμαρτον μόνος ἐγὼ, καὶ εἰσέτι ἁμαρτάνω, ἀλλ' οὐκ ἀποστήσομαι ἀπὸ σοῦ Πανύμνητε, οὐδὲ πρὸς ἕτερον μεσίτην ἐκπετάσω τὰς χεῖράς μου.

Ὠδὴ, ς'. Ἐκύκλωσεν ἡμᾶς.

ΕΚάλυψεν ἡ ἀρετὴ καὶ δόξα σου, τοὺς Οὐρανοὺς ὡς γέγραπται, καὶ ἐπλήσθη τῆς αἰνέσεως τῆς σῆς ἅπασα ἡ γῆ, Κόρη Πανύμνητε. ἅπασαι αἱ φυλαὶ, καὶ γλῶσσαι σὲ μακαρίζουσιν.

ΕΛέους ἡ τεκοῦσα μέγα πέλαγος, καὶ ἄβυσσον χρηστότητος, ἐν πελάγει ῥυπαρῶν μου λογισμῶν, καὶ παθῶν ἀβύσσῳ χειμαζόμενον, τῷ γαληνῷ τῆς μετανοίας ὅρμῳ προσόρμισον.

ΛΥχνία χρυσαυγίζουσα πολύφωτε, τὸ σκότος ἀποδίωξον τῶν ἐμῶν ἁμαρτημάτων, τῷ φωτὶ τῆς σῆς ἀντιλήψεως, καὶ λάμψον μοι φαιδρὰν αὐγὴν τῆς παντελοῦς Ἁγνὴ συγχωρήσεως.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν, οἱ πένητες τῷ πνεύματι, οἱ πλουτοῦντες ἐν ἐνθέοις ἀρεταῖς, ὅτι ὁ Θεὸς πᾶσι παρέσχετο, τὴν ἑαυτοῦ Ἁγνὴν Μητέρα κοινὸν προσφύγιον.

Κάθισμα. Χορὸς Ἀγγελικός.

Ὁ Νέος Οὐρανός, ὁ χωρήσας ἀῤῥήτως, τὸν ἐν τοῖς Οὐρανοῖς μὴ χωρούμενον Λόγον. τὸ ἔμψυχον παλάτιον, τοῦ Δεσπότου τῆς Κτίσεως, ἡ περίδοξος καὶ περιώνυμος Πόλις, τοῦ Σωτῆρος μου, τῆς Οὐρανίου Πατρίδος, πολίτην με ποίησον.

Ὠδὴ, ζ'. Σὲ νοητὴν Θεοτόκε κάμινον.

Πᾶσαν ἐν γῇ πονηρίαν ἔπραξα, ὁ ἀσυνείδητος ἐγώ, καὶ οὐκ ἔστιν εἶδος κακοῦ, ὅπερ οὐ κατείργασμαι, νῦν δὲ πρὸς τὴν ἔξοδον, ἐγγίζων τρέμω τὴν κόλασιν Μῆτερ Θεοῦ, βοήθησόν μοι, καὶ μὴ ἀπώσῃ με.

Νέος Ἀδὰμ ἐξ Ἁγνῶν αἱμάτων σου, ὁ προαιώνιος Θεός, ἐσχημάτισε βουληθείς, ὅνπερ νῦν ἱκέτευε, τὸν παλαιωθέντα με ἀνακαινίσαι κραυγάζοντα, ὁ αἰνετὸς τῶν Πατέρων Θεός, καὶ ὑπερένδοξος.

Βάτος ποτὲ ἄφλεκτος Πανάμωμε, τὴν σὴν εἰκόνιζε νηδύν. οὐ γὰρ ἔφλεξέ σε τὸ πῦρ, ὅλως τῆς Θεότητος. ὅθεν ἱκέτευσε, πυρὸς ἀσβέστου με λυτρῶσαι, ὅπως ὑμνῶ ἀσιγήτως, Ἁγνὴ τὰ μεγαλεῖά σου.

Ἐν σοὶ Ἁγνὴ Θεοτόκε τίθημι, πᾶσαν ἐλπίδα καὶ πρὸς σὲ, καταφεύγω διὰ παντός. σῶσόν με πρεσβείαις σου· ῥῦσαί με Πανάμωμε, τῆς κατεχούσης συγχύσεως, καὶ ταραχῆς τῶν δεινῶν μου, παθῶν καὶ περιστάσεων.

Ὠδὴ, η'. Ἐν καμίνῳ παῖδες.

Ἀνατείνω χεῖρας ῥυπωθείσας, καὶ ὄμματα ἐπαίρω, πρὸς σὲ Κεχαριτωμένη, καὶ βοῶ ἐν στεναγμοῖς. ἐλέησον Δέσποινα τὴν ψυχήν μου, σῶσόν με ὡς θέλεις, κυβέρνησον ὡς οἶδας, ῥῦσαί με γεέννης, πάντα ὡς δυναμένη.

Οὐχ εὑρίσκω ὅλως ἐν ἐμοὶ, δικαιοσύνης πράξεις, παράνομα ἐργασάμενος, Παναχραντε Ἁγνή. καὶ στένων ὀδύρομαι τί ποιήσω. Δέσποινα πάντων βοήθεια γενοῦ μοι, μὴ καταπιέτω βυθός με ἀπωλείας.

Ἡ Τὸν Κτίστην πάντων καὶ Θεὸν, ἀῤῥήτως συλλαβοῦσα διάσωσον ἐκ φθορᾶς με, καὶ παντοίων πειρασμῶν, φευκτῆς ἀποφάσεως, καὶ μελλούσης δίκης, πυρός τε ἀσβέστου αἰωνίου, ἵνα σε δοξάζω Ἁγνὴ εἰς τοὺς αἰῶνας.

Ἡ Πλησίον οὖσα τοῦ Θεοῦ, ὡς Μήτηρ καὶ Παρθένος, ἡ μῶμον μὴ κεκτημένη, σαρκικὸν, ἢ ψυχικόν. καλὴ δὲ καὶ ἄμωμος ὅλη Κόρη. μώμου παντοίου τὴν μωμητὴν ψυχήν μου ῥῦσαι, καὶ ἀμώμως δίδου πορεύεσθαί με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ θ΄. Τύπον τῆς Ἁγνῆς.

ΔΕ΄χου τὴν ἐμὴν σὺ δάκρυσι, νῦν ἱκεσίαν, καὶ παράσχου μοι ἄφεσιν, ὧν ἐξήμαρτον πλημμελημάτων ὁ δείλαιος· Θεοτόκε Πανύμνητε Δέσποινα, εἰς τέλος γὰρ ἐκλείπω, ἐκ τῆς ἀμέτρου ἀπογνώσεως.

ΟΛην τὴν ζωὴν ἀνήλωσα, τὸν ἐμπαθῆ διώκων βίον καὶ βέβηλον, καὶ κατέφθειρα ψυχὴν καὶ σάρκα τοῖς πάθεσι, καὶ οὐκ ἔχω ἐλπίδα σωτήριον· ἀλλ᾽ ὦ Παρθενομῆτορ διάσωσόν με ταῖς πρεσβείαις σου.

ΟΤε νοερῶν Δυνάμεων, αἱ στρατιαὶ καὶ φάλαγγες σαλευθήσονται. πίπτει δὲ τὰ ἄστρα καὶ σκοτίζεται Ἥλιος. Οὐρανὸς ὡς βιβλίον εἱλίσσεται, καὶ γῆ κλονεῖται φόβῳ, σύ μοι Ἁγνὴ τότε βοήθησον.

ΥΨος τὸ τοῦ μυστηρίου σου, κατανοῆσαι Κόρη πάντη ἀδύνατον, οὐ μόνον βροτοῖς, ἀλλὰ καὶ Νόων στρατεύμασι, τὸν Θεὸν γὰρ τὸν πάντα ποιήσαντα, βουλήσει ἐκ μὴ ὄντων ὑπεραρρήτως ἐσωμάτωσας.

Στιχηρὰ Προσόμοια. Πανεύφημοι Μάρτυρες.

ΨΥχῇ καὶ καρδίᾳ σοι βοῶ, Θεοτόκε Δέσποινα, τῶν ἀοράτων με λύτρωσαι, καὶ ὁρωμένων τε, ἐχθρῶν κακουργίας, τῶν ἐνεδρευόντων με, οἱ πρῶτοι γὰρ τοὺς ἄλλους ὁπλίζουσι, κακοποιῆσαι με, ὧν τῆς βλάβης με διάσωσον, καὶ εἰρήνην τῇ ψυχῇ μου δώρησαι.

ΤΗν πώρωσιν Δέσποινα ψυχῆς, τῆς ἐμῆς διάλυσον, καὶ λογισμὸν κατανύξεως, Ἁγνὴ παράσχου μοι, καὶ δακρύων ὄμβρους, ἵνα ἀποπλύνω μου, τὸν ῥύπον τῶν πταισμάτων ἀμόλυντε, καὶ καταξίωσον, ἀκατάκριτον ὀφθῆναί με, τῷ Υἱῷ σου ἐν ὥρᾳ τῆς Κρίσεως.

ΧΑρίτων καὶ θείων δωρεῶν, τῶν ἐκ σοῦ ἀπήλαυσαν, ὁ Οὐρανὸς καὶ οἱ Ἄγγελοι, καὶ πᾶν τὸ πλήρωμα, τῶν Ἁγίων πάντων, τῶν πρὸ νόμου Πάναγνε, λαμψάντων καὶ ἐν νόμῳ καὶ χάριτι, καὶ γῆ καὶ ἄνθρωποι, εὐφραινόμενοι σὲ κέκτηνται, καὶ προστάτιν καὶ κοινὴν μεσίτριαν.

Ἡ Πάντων Βασίλισσα χοροὶ, Ἀσωμάτων τάξεων, καὶ Προφητῶν ἡ ὁμήγυρις, σοφοὶ Ἀπόστολοι, μετὰ τοῦ Προδρόμου, Ἱερεῖς καὶ Μάρτυρες, Ὁσίων καὶ Δικαίων τὰ τάγματα, Χριστὸν τὸν Κύριον, ἱκετεύσατε βραβεῦσαι μοι, ἐγκλημάτων πάντων τὴν συγχώρησιν.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂͂ ΚΥΡΙΑΚΗ͂,

## ΕʹΣΠΕʹΡΑΣ, ΚΑΝΩ͂Ν

## ΕἸΣ ΤΗ͂Ν

## ὙΠΕΡΑΓΙʹΑΝ ΘΕΟΤΟʹΚΟΝ.

## Ἦχος, Βʹ.

Ὠδὴ, αʹ. Δεῦτε λαοὶ ᾄσωμεν.

ΜΗʹΤΗΡ Θεοῦ, κλῖνον τὸ οὖς σου τὸ Ἄχραντον, δέξαι θρῆνον ἐξόδιον. ἄκουσον ῥήματα, ἐκ ψυχῆς κατωδύνου, καὶ τεταπεινωμένης ἐκ πονηρᾶς συμβουλῆς.

Ἰδοὺ καιρὸς, ἔφθασε τῆς συντελείας μου. ἰδοὺ πληθὺς παρέστη μοι δαιμόνων κράζοντες, ἀναιδῶς καὶ ζητοῦντες, τὴν ταπεινὴν ψυχήν μου, Δέσποινα ῥῦσαί με.

Τί ταπεινὴ, ψυχὴ θρηνήσομεν πρότερον; Θεοῦ ἡμῶν τὴν στέρησιν; ἢ τῆς Μητρὸς αὐτοῦ; ἣν οὐκ ἄλλοτε βλέψεις. εἰς βάσανον τοῦ ᾅδου ἀπαγομένη πικρῶς.

Πῶς σου Ἁγνὴ, τῆς θείας δόξης ὁ ἄθλιος, νῦν χωρισθεὶς εἰς ᾅδου με, κόλασιν δέσμιον, καταγάγωσιν ὄντως, καὶ σκότος με καλύψει τοῦ αἰωνίου πυρός.

Ὠδὴ, γʹ. Στερέωσον ἡμᾶς.

Σαλεύθητι ψυχὴ, καρδία σείσθητι. καὶ ὅλον δονήθητί μου τὸ σῶμα. ἐπιτάφιον θρηνήσωμεν, τὴν Μητέρα Θεοῦ καθικετεύοντες.

Συνάχθητε ὁμοῦ αἰσθήσεις ἅπασαι, ψυχῆς μου καὶ σώματος καὶ θρηνεῖτε. οὐκ ἐν τάφῳ, οὐκ ἐν ᾅδῃ γὰρ, τῆς Μητρὸς τοῦ Χριστοῦ αἴσθησιν λάβετε.

Θρηνήσω γοερῶς ὑμᾶς ὦ χεῖρές μου, καὶ λούσω τοῖς δάκρυσιν ὀλολύζων. ὀπισθίως γὰρ δεθήσεσθε, καὶ εἰς πῦρ σὺν ἐμοὶ ἀποπεμφθήσεσθε.

Οὐκέτι πρὸς Θεὸν ὑμᾶς ὦ χεῖρές μου ἐκτείνω, οὐκέτι καθικετεύσω, τὴν Παναχράντου Μητέρα Χριστοῦ, ἀλλ' ἐν ᾅδῃ καθήσομαι δεσμούμενος.

Ὠδὴ, δʹ. Ὑμνῶ σε, ἀκοὴν γὰρ Κύριε.

Ἐπέστη πονηρὸν συνέδριον, ἀπελέγχον μου τὰ πρακτέα. καὶ φόβος με πάντοθεν ἐκλόνησεν. οὐδεὶς γὰρ τότε, ἐμοὶ βοηθὸς οὐδὲ συνήγορος. Μῆτερ Θεοῦ προφθάσασα βοήθησον.

Οὐκέ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Οὐκέτι τοῦ Ναοῦ σου πόδες μου, τὰ προπύλαια ἐπιβῶσιν. οὐκ ὄμμασι βλέψωσι. οὐ στόματι φθέγξομαί σοι, Μῆτερ Θεοῦ. τάφος γὰρ καὶ ᾅδης με διὰ παντὸς τὸν ἄθλιον καλύψουσιν.

Οὐκέτι τοῖς ὠσί μου Δέσποινα, ἐπακούσομαι θείας ᾠδῆς σου. οὐκέτι μου χείλεσιν ὑμνήσωσι τὰ μεγαλεῖα Ἁγνή. ἀλλ' ἐν σκότει καὶ πυρὶ δεσμευθείς, ὀδυνήσω γοερῶς καὶ πικρῶς.

Παρθένε Παναγία Δέσποινα, ἡ τεκοῦσα τὸ φῶς τοῦ Κόσμου, ἐν κλίνῃ με κείμενον, καὶ πάντοθεν ἠπορημένον, φωτὶ τῆς πρεσβείας σου καταύγασον, τῆς ταπεινῆς ψυχῆς μου τὴν σκοτόμαιναν.

Ὠδὴ, ε΄. Ὁ φωτισμός.

Ἴδου ψυχὴ, φοβερόν σοι ἐπέστη τῶν ἐν τῷ βίῳ, ἔργων λογοθέσιον. τί καθεύδεις; θρήνησον μέγα. βόησον τῇ Μητρὶ τοῦ Κυρίου. Δέσποινα πρόφθασον. λῦσον τὸ δεινὸν καὶ πικρὸν λογοθέσιον.

Ὦ Λειτουργοὶ τοῦ Θεοῦ μου, τί πράξεις ἔργων καὶ λόγων πάντων τῶν ἐν βίῳ ἐπιζητεῖτε; μνήσθητε, ὅτι δι' ἐμὲ τὸν πεσόντα, ἐκ Παρθένου Θεὸς σεσάρκωται, κλίνας Οὐρανοὺς, καὶ θανάτου γευσάμενος.

Ὅτι Χριστὸς ἐξ Ἁγνῆς ἐσαρκώθη. ἵν' ὑποδείξῃ, τρίβον τὴν ἐνθεῖαν πᾶσιν ἀνθρώποις, μέχρι θανάτου καθυπομείνας. διὰ τοῦτο καταφρονήσαντα, σὲ τῶν τοῦ Θεοῦ ἐντολῶν οὐ φεισόμεθα.

Δεῦτε πηγαὶ, ἀπαντλήσατε ὕδωρ τῇ κεφαλῇ μου, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὰς δακρύων, ἵνα πενθήσω ἐπιτάφιον θρῆνον, καὶ βοήσω πρὸς τὴν πανάχραντον· Δέσποινα τοῦ Κόσμου μὴ κλείσῃς μοι τὰ σπλάγχνα σου.

Ὠδὴ, ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Ὡς στρουθίῳ παγὶς ἐπιπέπτωκεν, ἄφνω μοι ὁ θάνατος. οἴμοι τῷ τάλανι. καὶ σκότος κατεκάλυψε. τὴν ψυχήν μου Παρθένε βοήθησον.

Ἐκ τοῦ ὕψους τῆς δόξης σου Δέσποινα, τὴν στενοχωρίαν μου βλέπουσα πρόφθασον. ἰδοὺ γὰρ ἀσυμπάθητον, καὶ πικρόν με Κριτήριον πέφθακε.

Φοβερὰ τῶν δαιμόνων στρατεύματα, ἄφνω με τὸν ἄθλιον περιεκύκλωσαν, καὶ τὴν ψυχήν μου Δέσποινα, ἀναιδῶς ἐκζητοῦσι βοήθει μοι.

Εἰ καὶ ἥμαρτον Δέσποινα ἄμετρα, ἀλλὰ πλὴν τοῦ Τόκου σου Θεὸν οὐκ ἔγνωκα. μή με παρίδῃς Ἄχραντε ἐν πυρὶ αἰωνίῳ κολάζεσθαι.

Κάθισμα. Προστασία.

Ἡ Μόνη Θεὸν ἀσπόρως κυήσασα. καὶ πάλιν Ἁγνὴ μετὰ τὸν τόκον μείνασα. σοὶ προσπίπτομεν Δέσποινα. μετὰ φόβου καὶ πόθου κραυγάζοντες. ἐκ παθῶν καὶ νόσων δεινῶν, καὶ θλίψεων πασῶν ἡμᾶς λύτρωσαι.

Ὠδὴ,

Δημόσια Βιβλιοθήκη Μηλεών

### Ὠδὴ, ζ΄. Εἰκόνος χρυσῆς.

Δεινὸν καὶ πικρὸν, λογοθέσιον ψυχῆς ἄφνω ἐπῆλθέ μοι. συνηγορῶν δὲ οὐ πάρεστι μοι, οὐκ ἀδελφὸς οὐδὲ φίλος μου, μήτηρ, οὐ πατὴρ, οὐδὲ τέκνα. ἀλλὰ μόνος ἐτάζομαι. Δέσποινα Μήτηρ τοῦ Θεοῦ σπεῦσον βοήθησον.

Παρῆλθε λοιπὸν, ὡς σκιὰ καὶ ὡς καπνὸς ἅπας ὁ βίος μου. μικραὶ δὲ πᾶσαι αἱ ἡμέραι μου καὶ πονηραί μοι ἐφάνησαν. λόγων γὰρ εὐθύνας ὁ τάλας ἀπαιτούμενος Ἄχραντε, καταδικάζομαι εἰς πῦρ. Δέσποινα πρόφθασον.

Ἐκύκλωσαν νῦν, ὡσεὶ μέλισσαι κηρὸν δαιμόνων φάλαγγες. καὶ δαπανῶσιν αἰσθητήρια, τὰ τῆς ψυχῆς μου Παναμώμε. κλῖνον σου τὸ ἄχραντον ὄμμα ἐκ τοῦ ὕψους τῆς δόξης σου, καὶ διασκόρπισον αὐτοὺς Ἁγία Δέσποινα.

Πρὸς σὲ τὴν Ἁγνὴν, ἐπερρίφην ἐκ γαστρὸς μητρός μου Δέσποινα. φθονήσαντες δὲ οἱ ἀλάστορες, ἀπὸ τῆς σῆς μου ἐξέκλιναν τρίβου, καὶ εἰς βάθη κακίας συνωθήσαντες χαίρουσιν, υἱὸν γεέννης καὶ πυρὸς ἀπεργασάμενοι.

### Ὠδὴ, η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Πῦρ μου φλογίζει τὰ ἐντὸς, καὶ ὠθεῖ μου τὴν ψυχὴν πρὸς ἄλλην φλόγα, τοῦ πυρὸς τοῦ ἀσβέστου καὶ ἐξωτέρου σκότους. καὶ στένων κραυγάζω σοι Δέσποινα, Μήτηρ τοῦ Χριστοῦ μου ἐκ τοῦ πυρός με ῥῦσαι.

Φόβος καὶ τρόμος ἐπ᾽ ἐμὲ, καὶ θανάτου φοβεροῦ ἔφθασεν ὥρα, καὶ ἐκάλυψε σκότος τὴν ταπεινήν μου ψυχὴν, καὶ τρέμων δειλιῶ τὸ ἄστεκτον, πῦρ τοῦ αἰωνίου καὶ ἐξωτέρου σκότους.

Κλαύσατε ὄρη καὶ βουνοὶ, ἐπ᾽ ἐμοὶ τῷ ταπεινῷ καὶ ταλαιθλίῳ, ὅτι ζήσας ἀσώτως, ἐν τῇ ἐκστάσει νυνὶ, θανάτου κραυγάζω τὴν Δέσποιναν, ἔκλεισε δὲ ὦτα τὰ Ἄχραντα καὶ θεῖα.

Στέναξον μέγα ὦ ψυχὴ, καὶ ἑτοίμασον σαυτὴν πρὸς τὰς βασάνους. ὁ καιρὸς γὰρ ἐκλείσθη ὁ τῆς δεήσεώς σου. τί μάτην ἐκτείνεις τὴν δέησιν; πρὸς τὴν Θεοτόκον ἀνόνητα θρηνοῦσα.

### Ὠδὴ, θ΄. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Σῴζου ὦ μάταιε βίε. σῴζεσθε πάντες οἱ φίλοι. πατέρες καὶ καλοί μου ἀδελφοί. οὐκέτι γὰρ θεωρῶ ὑμᾶς. ἀλλ᾽ ἐν σκότει τοῦ ᾅδου, μονώτατος βληθήσομαι εἰς πῦρ. διὸ δέομαι πάντες μνησθέντες μου θρηνήσατε.

Σῴζου ἡ σύμπασα Κτίσις. γῆ καὶ ὕδατα πάντα. ὁ Οὐρανὸς, τὰ Ἄστρα καὶ τὸ φῶς. καὶ ἡ Σελήνη καὶ Ἥλιος. ἐν τῷ ᾅδῃ οὐκέτι θεάσομαι ὑμᾶς. ἀλλ᾽ ἐν πυρὶ αἰωνίῳ δεινῶς βασανισθήσομαι.

Σῴζου Χριστοῦ μου ἡ Μήτηρ. σῴζου Δέσποινα Κόσμου. σῴζου Θεοῦ παλάτιον τερπνόν. σῴζου ἡ πάντων βοήθεια. σῴζου δόξα δικαίων. οὐκέτι σου ὁ ἄθλιος ἐγὼ, χαρακτῆρα τὸν θεῖον κατείδω, ἢ ἀσπάσομαι.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΣΩ'ζου Χριστὲ ὁ Θεός μου, ὁ καλὸς ποιητής μου. δικαία σου ἡ κρίσις ἐπ' ἐμοί, τῷ μὴ φυλάξαντι πώποτε, ἐντολάς σου Σωτήρ μου. διὸ καταδικάζομαι εἰς πῦρ. ἀλλ' εὐχαῖς τῆς Μητρός σου εἰς τέλος μὴ παρίδῃς με.

Στιχηρὰ Προσόμοια. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

ΠΑ'ντων θλιβομένων ἡ χαρά, καὶ ἀδικουμένων προστάτις, καὶ πενομένων τροφή, ξένων τε παράκλησις, καὶ βακτηρία τυφλῶν. ἀσθενούντων ἐπίσκεψις. καταπονουμένων, σκέπη καὶ ἀντίληψις, καὶ ὀρφανῶν βοηθός. Μῆτερ τοῦ Θεοῦ τοῦ Ὑψίστου. σὺ ὑπάρχεις Ἄχραντε σπεῦσον, δυσωποῦμεν σώζεσθαι τοὺς δούλους σου.

ΠΑ'σαν ἀνομίαν ἀφειδῶς, πᾶσαν ἀκρατῶς ἁμαρτίαν, ὁ τάλας ἔπραξα. πάσης κατακρίσεως ἄξιος πέφυκα. ἀφορμὰς μετανοίας μοι, παράσχου Παρθένε. ὅπως ἀκατάκριτος ἐκεῖ ὀφθήσωμαι. σὲ γὰρ ἐπιγράφομαι πρέσβιν. σὲ ἐπικαλοῦμαι προστάτιν. μή με καταισχύνῃς Θεονύμφευτε.

Δόξα.

ΩʹΡαν τῆς ἐτάσεως σκοπῶν, φρίττω ἐννοῶν μου τὰ πλήθη τῶν παραπτώσεων. τί ἀπολογήσομαι; πῶς διαφεύξομαι, τὴν αἰσχύνην τὴν μέλλουσαν, ἀσώτως βιώσας; ὅθεν Κόρη κράζω σοι θερμοῖς τοῖς δάκρυσι. πλῦνον τῆς ψυχῆς μου τὸν ῥύπον, ἡ τὸν καθαρὸν μαργαρίτην, τὸν Χριστὸν κυήσασα καὶ σῶσόν με. Καὶ νῦν.

Πάντων προστατεύεις ἀγαθή. καὶ τὰ ἑξῆς.

## ΤΗ͂Ι ΔΕΥΤΕ'ΡΑ, Ε'ΣΠΕ'ΡΑΣ,

## ΚΑΝΩ'Ν ΕΙ'Σ ΤΗ'Ν

## ΥΠΕΡΑΓΙ'ΑΝ ΘΕΟΤΟ'ΚΟΝ.

Ὠδὴ, ά. ἦχος, β'. Ἐν βυθῷ κατέστρωσε.

ΜΕμυκότα χείλη τῆς ψυχῆς, ἄνοιξον καὶ τράνωσον, τὸν λογισμὸν καὶ τὴν γλῶσσαν μου Πάναγνε. ὡς αὐτοῦ τὴν αἴνεσιν, ἀναγγείλῃ Θεογεννῆτορ τὸ στόμα μου, καὶ εὐχαριστίαν ἐξ αὐτῆς καρδίας ἀναφέρω σοι.

Ο'Λικῶς Ἁγνὴ μετὰ Θεόν, σοὶ προσανατέθηκα, τὴν ἐμαυτοῦ σωτηρίαν ὁ δοῦλός σου, ὅλην μου τὴν ἔφεσιν, καὶ τὴν σχέσιν καὶ τὴν στοργὴν καὶ τὴν πρόθεσιν, ὅλης ἐξ ἰσχύος, καὶ ψυχῆς ἐξ ὅλης ἀνατείνας πρὸς σέ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Παθοκτόνον πένθος καὶ κλαυθμόν, δώρησαί μοι Δέσποινα. καὶ κατανύξεως ῥεῖθρον ἀείζωον, δάκρυον σβεστήριον, τῆς γεέννης καὶ σιωπὴν καθαρτήριον, καὶ τὴν μακαρίαν μέγα φυλακτήριον ταπείνωσιν.

Ἐν χρυσοῖς ἁγνείας κροσσωτοῖς περιβεβλημένην σε, πεποικιλμένην τὴν πάντων Βασίλισσαν, καὶ ἐν ἐξαστράπτοντι, Παρθενίας ἱματισμῷ διαχρύσῳ Πανάχραντε, κεκαλλωπισμένην, ἔστησεν αὐτοῦ ἐκ δεξιῶν ὁ Θεός.

Ὠδὴ, γ'. Τῆς πίστεως ἐν πέτρᾳ με.

Ὡς θάλαμον ὡραῖον σε τοῦ Νυμφίου, ὡς ἔμψυχον παλάτιον τοῦ Δεσπότου, ὡς ἔντιμον πορφύραν τοῦ Βασιλέως, καὶ χρυσόπλοκον παστάδα πάνσεμνε, ἱκετεύω σῶσόν με τὸν τιμῶντά σε.

Ἰδοὺ τὸ πολυώνυμον θεῖον ἅρμα, ἰδοὺ ὁ χρυσοκόλλητος θεῖος δίφρος. ἰδοὺ ἡ πορφυρόστρωτος θεία κλίνη, ἣ ἀνεπαύσατο, ὁ Βασιλεύς μου Χριστός, ἡ Παρθένος Δέσποινα, ἣν ἀνυμνήσωμεν.

Ἀλόγως ὑποκύψας ὁρμαῖς ἀλόγοις, ὁ λόγῳ καὶ φρονήσει τετιμημένος, τοῖς κτήνεσιν ὡς ὅλως τοῖς ἀνοήτοις, παρασυμβέβλημαι, καὶ παρωμοίωμαι, ἡ τὸν Λόγον τέξασα σύ με οἴκτειρον.

Σελήνην καὶ ἀστέρας θεμελιώσας, ἐκτείνας ὡσεὶ δέρριν τὸν Πόλον Λόγε, καὶ πήξας ἐφ' ὑδάτων τὴν γῆν ἀσχέτως, Ναὸν εὐρύτερον καὶ ἀνώτερον, Οὐρανῶν ἀνέδειξας τὴν Τεκοῦσάν σε.

Ὠδὴ, δ'. Ἐλήλυθας ἐκ Παρθένου.

Σταλάξατε εὐφροσύνην τὰ ὄρη καὶ ῥήξατε, βουνοὶ ἀγαλλίασιν, τὸ ἐμφανὲς γὰρ καὶ ἅγιον, ὄρος ἡ πανύμνητος, πᾶσιν ἀπεστάλαξε, θεῖον γλυκασμὸν καὶ χρηστότητα.

Ὑπέρκειται διανοίας ἁπάσης τὸ θαῦμά σου, ἡττᾶται καὶ δύναμις λόγων αὐτὸ ἑρμηνεύουσα· τὸν γὰρ ἀνερμήνευτον, καὶ ἀκατάληπτον Λόγον Κόρη τέτοκας.

Δεσμεῖταί μου ἡ φωνὴ καὶ ἡ γλῶσσα πεπέδηται, δοκῶ γὰρ παρίστασθαι τοῦ φοβεροῦ Κριτηρίου σου, Κύριέ μου Κύριε, διὰ τῆς Τεκούσης σε ἐλεήμων κἀμὲ οἴκτειρον.

Ἐλέησον ἐλεήμονος Λόγου λοχεύτρια, τὸν ἀνελεήμονα καὶ τοῦ ἐλέους ἀνάξιον, ἐμαυτὸν ποιήσαντα, ὡς τὰς ἐντολὰς τοῦ Δεσπότου ἁπάσας ἀμελήσαντα.

Ὠδὴ, έ. Ὁ φωτισμός.

Τὸ φοβερὸν ἐνθυμούμενος Βῆμα τὸ τοῦ Υἱοῦ σου, τρέμω τὰ δεινά μου γινώσκων ἔργα, Θεογεννῆτορ, ὑπερβαίνοντα πλήθους ἀμετρίᾳ ψάμμον παράλιον, καὶ τὸν τῶν Ἀστέρων χορὸν τὸν ἀμέτρητον.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἀνατολὴ τοῦ Ἡλίου τῆς δόξης, λάμψον μοι φέγγος, θείας κατανύξεως, τῷ ἐν σκότει ἐγκαθημένῳ, καὶ σκιᾷ θανάτου, καὶ πρὸ ταφῆς ὡς νεκρῷ, ὅπως τὸν νεκρὸν τὸν ἐμὸν ἀποκλαύσωμαι.

Νοῦς ἀμυδρὸς, καὶ καρδία βραδεῖα καὶ στενὴ γλῶσσα, ποῖον σοι προσοίσουσιν ὕμνον Κόρη; πᾶς γὰρ ὁ κόσμος, χεῖλος ἐν μία γλῶσσα, ἐὰν γένωνται οὐ δυνήσονται, ὄντως ἐπαξίως ὑμνῆσαι σε Δέσποινα.

Τῆς σῆς ἐκτὸς βοηθείας, Παρθένε καὶ συνεργείας, μάταιος ὁ πόνος, κενὸς ὁ κόπος ὁ τῶν ἀνθρώπων, ὁ ἱδρὼς καὶ ὁ μόχθος, καὶ ὁ σύμπας ἀγὼν ἀνίσχυρος, ὅθεν μοι σωθῆναι ποθοῦντι συνέργησον.

Ὠδὴ, ϛ'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἐπὶ σὲ τὰς ἐλπίδας ἀνέθηκα, τὰς τῆς σωτηρίας μου Κόρη Πανύμνητε, σὺ πρὸς ζωὴν ὁδήγησον, τὴν ψυχήν μου χωροῦσαν εἰς θάνατον.

Τὴν πολλήν μου γινώσκεις ἀσθένειαν, καὶ τὴν ῥαθυμίαν ἐπίστασαι Δέσποινα, ὡς οἶδας αὐτὴ σῶσόν με, καὶ ὡς θέλεις γεέννης με λύτρωσαι.

Ὁ τὸ πᾶν οὐσιώσας βουλήματι, Λόγος συναΐδιος καὶ ὁμοούσιος, Πατρὶ καὶ θείῳ Πνεύματι, ἐκ Παρθένου φορεῖ τὴν οὐσίαν μου.

Ἐν πελάγει τοῦ βίου νηχόμενον, ζάλη καὶ παθῶν τρικυμίαι δονοῦσι με, παῦσον τὸν σάλον Ἄχραντε, καὶ τὸν ἄστατον πράϋνον τάραχον.

Κοντάκιον, ἦχος, β'. Τὰ ἄνω ζητῶν.

Δακρύων πηγὴν, παράσχου μοι Πανάμωμε, δι' ὧν τὴν πληθὺν ἐκπλύνω τῶν πταισμάτων μου. εἰς σὲ γὰρ Θεόνυμφε, τὴν ἐλπίδα πᾶσαν ἀνέθηκα, σπεῦσον οὖν πρὶν ἀπολέσθαι με, χειρὸς τῶν δαιμόνων ἐκλυτρώσασθαι.

Ὠδὴ, ζ'. Εἰκόνος χρυσῆς.

Λυχνία χρυσῆ, φωσφόρε κιβωτὲ ἁγία τράπεζα, πύρινε θρόνε, βάτε ἄφλεκτε, θυμιατήριον πάγχρυσον, εὔδοξε περίβλεπτε Πόλις, πορφυρόχρυσε θάλαμε, χρυσοπορφύρωτε παστὰς, Δέσποινα σῶσόν με.

Ὁ Μήτραν τὴν σὴν, ὑποδὺς μονογενὴς τοῦ Θεοῦ Λόγος, σὲ προστασίαν ἀκαταίσχυντον, Χριστιανοῖς ἐχαρίσατο. ὅθεν δυσωπῶ σε Παρθένε τὴν ψυχήν μου ἐλέησον, πάσῃ ἡμέρᾳ καὶ νυκτὶ προσκαλουμένῳ σε.

Ὁ μόνος Θεὸς, ὁ δρακὶ τοὺς Οὐρανοὺς καὶ γῆν μετρήσας, καὶ ἐξ οὐκ ὄντων τὴν ἀσώματον, καθυποστήσας καὶ ἄϋλον, Κόρη τῶν Ἀγγέλων οὐσίαν, δι' Ἀγγέλου τὸ χαῖρε σοι πέμπει, καὶ κλίνας Οὐρανοὺς ἐν σοὶ ἐσκήνωσε.

Ῥημάτων ἐμῶν, εἰσφορὰν τὴν πενιχρὰν προσδεξαμένη, ὡς προσφορὰν τελείαν ἄμωμον, ὥσπερ θυμίαμα εὔοσμον, ἀρωματοσύνθετον μύρον, συμφορᾶς πάσης ῥῦσαι με, περιφορᾶς τε τῶν παθῶν Θεογεννήτρια.

Ὠδὴ,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, ή. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ὁ Καθαρώτατος Ναὸς, τοῦ Σωτῆρος μου Χριστοῦ καὶ Βασιλέως, ὁ περίδοξος θρόνος, ὁ ὑψηλὸς Οὐρανὸς, ὁ ὄντως ἄσυλος Παράδεισος, ἄνοιξόν μοι πύλας Δέσποινα Παραδείσου.

Σὲ παραστάτιν δεξιὰν, καὶ προστάτιν κραταιὰν εὕροιμι Κόρη, ἐν καιρῷ τῆς ἐξόδου ἐν τῷ ἐκλείπειν πικρῶς, Παρθένε ἐξ ἐμοῦ τὸ πνεῦμά μου, σκολιὰς γὰρ τρίβους ὥδευσα καὶ τραχείας.

Νενεκρωμένην ἡδοναῖς, τὴν ψυχήν μου καὶ ἐν χώρᾳ κατοικοῦσαν, καὶ σκιᾷ τοῦ θανάτου, ἡ συλλαβοῦσα ζωὴν, τὴν θείαν ζωώσασα φώτισον, φωτὶ πρεσβειῶν σου Δέσποινα Θεοτόκε.

Σταλάζον ὄρος γλυκασμὸν, καὶ πικρίαν κοσμικὴν καταγλυκαῖνον, ἀνεδείχθης Παρθένε, ὡς τεκοῦσα Χριστὸν, τὴν δρόσον τὴν γλυκεῖαν ὅθεν μου, τῶν ἁμαρτημάτων γλύκανον τὴν πικρίαν.

Ὠδὴ, θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ὑπεραγία Παρθένε, ὑπεράμωμε Κόρη, ὑπεράγνε πανύμνητε σεμνὴ, ἅρμα τοῦ Λόγου ὑπέρφωτον, τῆς ἀθλίας ψυχῆς μου, τὸ φῶς μου καὶ πνοή μου καὶ ζωὴ, ὥσπερ οἶδας, ὡς θέλεις ἐλέησον καὶ σῶσόν με.

Ἀπὸ κοιλίας μητρός μου, ἐπὶ σὲ ἐπερρίφην, καὶ σοὶ ἐγκαταλέλειμμαι Ἁγνὴ, ὁ ταπεινὸς καὶ πτωχὸς ἀρετῶν, σὺ γενοῦ μοι Παρθένε, θερμὴ χειραγωγὸς πρὸς ἀρετὴν, τῆς ἐμῆς σωτηρίας τὰς τρίβους ὁμαλίζουσα.

Ἡ τῆς ἐμῆς σωτηρίας, ἐπὶ σοὶ Θεομῆτορ, ἐν πᾶσι περιΐσταται ἐλπὶς, μετὰ Θεὸν καὶ βοήθεια, ἐπὶ σὲ γὰρ ἐρρίφην, καὶ σοὶ ἐγκατελείφθην ὁ πτωχὸς, μή με ἐγκαταλίπῃς, προλαβοῦ δέ με Πάναγνε.

Σὺ εἶ τὸ καύχημα Κόρη τῆς ἀθλίας ψυχῆς μου. σὺ εἶ ὁ γλυκασμὸς καὶ φωτισμός. σὺ εἶ τὸ ἐμὸν ἀγαλλίαμα. σὺ καρδίας ἡδύτης. σὺ φῶς καὶ θυμηδία καὶ ζωή. σὺ παράκλησις θεία, χαρὰ καὶ ἀγαλλίασις.

Στιχηρὰ Προσόμοια. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὕμνους ἐγκωμίων σοι Ἁγνὴ, ὅλως οὐ τολμῶ σοι προσάξαι, τίς γὰρ σοι πλέξει βροτῶν, ἄξιον ἐγκώμιον; ἣν οὐδὲ Ἄγγελοι, ἐπαινέσαι δυνήσονται, ποτὲ κατ' ἀξίαν, σὺ γὰρ πάσης Κτίσεως ὅλη ὑπέρκεισαι, ὅτι τὸν τὰ πάντα βουλήσει, ἐξ οὐκ ὄντων λίαν πανσόφως, τελεσιουργήσαντα γεγέννηκας.

Δός μοι κατανύξεως Ἁγνὴ, θρήνους ἵνα κλαύσω τὰ πάθη, τῶν ἐγκλημάτων μου, πᾶσαν γὰρ ὁ δείλαιος, κακίαν ἔπραξα, ἀπὸ βρέφους ἐμόλυνα, δεινῶς τὴν ψυχήν μου, ὅθεν εἰς βοήθειαν ἐπικαλοῦμαί σε, σύ μου πρὸς Θεὸν γενοῦ πρέσβυς, ὅπως ἐξαλείψῃ τὰ πλήθη, τῶν πλημμελημάτων μου ὡς εὔσπλαγχνος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΣΤῆσον τῆς σαρκός μου τὰς ὁρμάς. σβέσον τὸν φλογμὸν τῶν παθῶν μου, παῦσον τὸν καύσωνα. τῆς ἐπιθυμίας μου τὴν πονηρὰν ἀπ' ἐμοῦ, Θεοτόκε ἀπέλασον. συνήθειαν ῥέψον, πᾶσαν τῶν δαιμόνων τε, Κόρη τὴν ἔφοδον, ὅπως ἐν γαλήνῃ καρδίας, καὶ ἐν ἀπαθείᾳ ψυχῆς μου, ἀνυμνολογῶ σε τὴν πανύμνητον.

ΜΟ'νη τὸν ἀχώρητον Θεὸν, ἀστενοχωρήτως ἐν μήτρᾳ ἐκυοφόρησας, ἄνθρωπον γενόμενον δι' ἀγαθότητα. Παναγία Θεόνυμφε, διὸ δυσωπῶ σε, τῶν στενοχωρούντων με παθῶν ἀπάλλαξον, ὅπως τὴν στενὴν ἀτραπὸν ὀρθοπόρως, τρίβον διοδεύσας εἰς πλάτος, φθάσω τῆς ἐκεῖ μακαριότητος.

## ΤΗ͂, ΤΡΙ'ΤΗ, Ε'ΣΠΕ'ΡΑΣ,

### ΚΑΝΩ'Ν ΕΙ'Σ ΤΗ'Ν

# ΠΑΝΥ'ΜΝΗΤΟΝ ΘΕΟΤΟ'ΚΟΝ.

Ὠδὴ, ά. ἦχος, β'. Δεῦτε λαοὶ ᾄσωμεν.

ΣΕ' τοῦ Θεοῦ, τὸ καθαρώτατον σκήνωμα, καθικετεύω Ἄχραντε, τὴν σπιλωθεῖσάν μου, ἡδοναῖς ἀκαθάρτοις, καθάρισον καρδίαν, ὅπως δοξάζω σε.

ΜΕτὰ Θεὸν, σὲ βοηθὸν ἀκαταίσχυντον, καὶ προστασίαν ἄμαχον καὶ ἀντιλήπτορα, καὶ φρουρὸν καὶ μεσίτιν Παρθένε κεκτημένος, κράζω σοι σῶσόν με.

Ε'Χων πληθὺν, ἁμαρτιῶν ὑπερβαίνουσαν, τῇ ἀμετρίᾳ Δέσποινα, ψάμμον παράλιον, καὶ χορὸν τῶν ἀστέρων, τῷ πλήθει τοῦ ἐλέους σου καταπέφευγα.

ΜΟ'νη Θεὸν, πᾶσι τὸν ὄντα ἀχώρητον, σὺ χωρητὸν γενόμενον δι' ἀγαθότητα, ἀπεκύησας Κόρη, ὃν αἴτησαι σωθῆναι τοὺς ἀνυμνοῦντάς σε.

Ὠδὴ, γ'. Ἐν πέτρᾳ με τῆς Πίστεως.

ΣΥ' μόνη προστασία καὶ βοηθός μου, γενοῦ Θεοκυῆτορ εὐλογημένη, καὶ ῥῦσαι με δαιμόνων ἐξ ἐπηρείας, καὶ τῶν θλιβόντων με παθῶν καὶ Κρίσεως, καὶ πυρὸς φλογίζοντος τῆς κολάσεως.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Φθαρεῖσαν ἐκαινούργησας Παναγία, τὴν φύσιν τῶν ἀνθρώπων ὡς τεκοῦσα, Θεὸν τὸν ἐκ φθορᾶς εἰς τὴν ἀφθαρσίαν, αὐτὴν μετάγοντα, ὅθεν φθαρέντα με ἡδοναῖς, ἀφθάρτισον καὶ ἀνάπλασον.

Δοξάζει σε τὴν μόνην εὐλογημένην, τὸ γένος τῶν ἀνθρώπων δεδοξασμένην. διὸ μελλούσης δόξης με κληρονόμον, Παρθένε ποίησον τῇ μεσιτείᾳ σου, τὸν πιστῶς ὑμνοῦντά σε Θεοδόξαστε.

Τὰ πάθη τῶν ψυχῶν ἡμῶν καὶ σωμάτων, ἰάτρευσον Πανάμωμε καὶ βαδίζειν, τὰς τρίβους κατεύθυνσον τὰς φερούσας, πρὸς τὴν ἀπόλαυσιν τὴν αἰωνίζουσαν, καὶ τρυφὴν τὴν ἄρρευστον καὶ ἀνώλεθρον.

Ὠδὴ, δ΄. Εἰσακήκοα Κύριε τὴν ἀκοήν τῆς σῆς οἰκονομίας.

Καταλάμπρυνον Ἄχραντε, τὴν ζοφερὰν ψυχήν μου τῷ φωτί σου, ἡ τὸ φῶς τεκοῦσα τὸ ἐνυπόστατον.

Ἡ τὸ πῦρ τῆς Θεότητος, ἐν τῇ γαστρὶ Παρθένε δεξαμένη, τοῦ πυρός με ῥῦσαι τοῦ αἰωνίζοντος.

Εὐλογημένη Πάναγνε, ταῖς σαῖς λιταῖς, τὸν πόνον τῆς ψυχῆς μου, ἰατρὸν τεκοῦσα Θεὸν, ἰάτρευσον.

Θεοτόκε Πανύμνητε, διάλυσον σειράς μου τῶν πταισμάτων· καὶ πρὸς θείας τρίβους με χειραγώγησον.

Ὠδὴ, ε΄. Ὁ φωτισμός.

Τὸ ἀληθῶς ἀλατόμητον ὄρος τὴν κεκλεισμένην, πύλην καὶ πηγὴν τὴν ἐσφραγισμένην, τὸν πανεύωδη, καὶ θεόφυτον κῆπον, τὸν λειμῶνα τὸν ἐξανθήσαντα, ἄνθος ἀφθαρσίας ὑμνοῦμέν σε Δέσποινα.

Ἐπιμελῶς ἐκ νεότητος πᾶσαν ἀκολασίαν, πράξας καὶ μολύνας ψυχὴν καὶ σῶμα, τὴν καθαράν σε καὶ ἀμόλυντον Κόρη, ἱκετεύω καὶ σῶμα καὶ τὴν ψυχὴν, κάθαρον ἁγίασον σῶσόν με.

Ὁ Ὑψηλὸς, καὶ περίβλεπτος θρόνος ὁ ἐπηρμένος, Θρόνων ὑπεράνω τῶν Ἀσωμάτων, ἐν ᾧ τῆς δόξης καθεζόμενον εἶδεν, Ἡσαΐας Χριστὸν τὸν Κύριον, ἔγειρον ἐν θρόνῳ παθῶν ἱδρυμένον με.

Νενηστευκὼς ἀρετῆς, ἀπὸ πάσης ἐνεφορήθην, ἀπηγορευμένης τρυφῆς εἰς κόρον, καὶ νῦν λιμώττω σωτηρίου τραπέζης, μετανοίας ἄρτῳ με στήριξον, Ἄρτον ἡ τὸν Θεῖον βαστάσασα τράπεζα.

Ὠδὴ, ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἐπὶ σοὶ τὰς ἐλπίδας ἀνέθηκα, Μῆτερ Ἀειπάρθενε τῆς σωτηρίας μου, καὶ σὲ προστάτιν τίθημι, τῆς ζωῆς ἀσφαλῆ τε καὶ ἄσειστον.

Τὰ ποικίλα μου πάθη θεράπευσον, μόνη παντοδύναμε Μῆτερ ἀνύμφευτε. σὺ γὰρ λιμὴν ἀχείμαστος, ἀνεδείχθης ἡμῖν τοῖς ὑμνοῦσί σε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Τῆς ἀμέτρου πωρώσεως ῥῦσαί με, τὸν κεκρατημένον πολλοῖς πλημμελήμασι. Θεοκυῆτορ Δέσποινα, καὶ χειρός με δαιμόνων ἐξάρπασον.

Παναγία Παρθένε Θεόνυμφε, ἡ μετὰ Θεὸν προστασία τῶν δούλων σου. ἐν ὥρᾳ τῆς ἐτάσεως, ἀντιλήπτωρ ψυχῆς μου γενήθητι.

Κάθισμα. Τὰ ἄνω ζήτει.

Δακρύων πηγήν, παράσχου μοι Παναμώμε, δι' ὧν τὴν πληθύν, ἐκπλύνω τῶν πταισμάτων μου. εἰς σὲ γὰρ Θεόνυμφε, τὴν ἐλπίδα πᾶσαν ἀνέθηκα, σπεῦσον οὖν πρὶν ἀπολέσθαι με, ἐκ χειρὸς τῶν δαιμόνων λυτρώσασθαι.

Ὠδὴ, ζ'. Εἰκόνος χρυσῆς.

Εἰς σὲ τὴν ἐμήν, ἀνεθέμην ἐκ ψυχῆς ἐλπίδα πᾶσαν, καὶ ἀτενίζω προσδεχόμενος, τὴν θείαν ὄντως παράκλησιν, πρόφθασον Ἁγνὴ Θεοτόκε, καὶ χαρίτωσον τρίβον μοι, ὑποδεικνῦσα πρὸς Θεὸν διαβιβάζουσαν.

Παρθένε σεμνή, ἀπειρόγαμε, Ἁγνὴ εὐλογημένη, καταπιπτόντων ἐπανόρθωσις, ἁμαρτανόντων ἡ λύτρωσις, σῶσόν με τὸν ἄσωτον σῶσον, καὶ αἰωνίου κολάσεως ἐξάρπασον, ὡς συμπαθὴς ἵνα δοξάζω σε.

Ἡ μόνη ἐλπίς, καὶ βοήθεια πιστῶν Θεογεννῆτορ, σπεῦσον βοήθει τοῖς ἱκέταις σου, βυθιζομένοις τοῖς πάθεσι, καὶ ταῖς τῶν δαιμόνων ἀπάταις, καὶ τρικυμίαις τῶν θλίψεων, τοῖς καταφεύγουσιν εἰς σὲ ἐν πεποιθήσει ψυχῆς.

Ἐρρύσω ἡμᾶς, κατακρίσεως δεινῆς ἀμπλακημάτων, καὶ τὴν ἀρχαίαν λύπην ἔλυσας, τῶν πρωτοπλάστων Πανύμνητε, τὸν δημιουργὸν τῶν ἁπάντων ὑπὲρ φύσιν κυήσασα, διὸ ἀξίως οἱ Πιστοί σε μακαρίζομεν.

Ὠδὴ, η'. Τὸν ἐν καμίνῳ.

Ζῶσα ὑπάρχουσα πηγή, ὡς τὸ ὕδωρ τῆς ζωῆς ἀποτεκοῦσα, τὴν ψυχήν μου τακεῖσαν, τῆς ἁμαρτίας φλογμῷ, Παρθένε Θεοτόκε πότισον, καὶ τῆς αἰωνίου ἐξάρπασον φλογός με.

Νυγεὶς τῷ βέλει τοῦ ἐχθροῦ, τὴν ψυχὴν ὁλοτελῶς ἐτραυματίσθην, καὶ ἀνίατα πάσχω, ἡ Σωτῆρα Χριστόν, ἀρρήτως τεκοῦσα Παναμώμε, ἴασαί με σῶσον, ἐλπίς μου ἡ βεβαία.

Νενεκρωμένον νοητῶς, ἐξ ἀμέτρων μου κακῶν ἀνάστησόν με, Θεονύμφευτε Κόρη, καὶ τῇ πρεσβείᾳ τῇ σῇ, ἐκ πάσης ἀπάτης με λύτρωσαι, τῆς τοῦ ψυχοφθόρου ἐχθροῦ καὶ παλαμναίου.

Τῆς ἐκφοβούσης με ὀργῆς, τοῦ Υἱοῦ σου καὶ Θεοῦ Ἁγνή με ῥῦσαι, καὶ ἐν ὥρᾳ τῆς δίκης ὡς παντοδύναμος, πρόφθασον ἑτοίμη βοήθεια, καὶ τῶν δυσωνύμων ἐρίφων λύτρωσαί με.

Ὠδὴ,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, θ'. Ἀνάρχου Γεννήτορος.

Χαρᾶς τὴν καρδίαν μου, Παρθενομῆτορ πλήρωσον, ἡ χαρὰν δεξαμένη ἐν τῇ νηδύϊ σου, φώτισον Ἁγνὴ τὴν ψυχήν μου τὴν ταπεινὴν, ζόφῳ κρατουμένην πολλῶν παραπτώσεων, σὺ γὰρ πᾶσι φῶς ἐκύησας.

Φωτί με καταύγασον ἐν τῷ σκότει κείμενον, τῆς δεινῆς ῥαθυμίας Θεοχαρίτωτε, καὶ οὐ προαιρούμενον ὅλως τοὺς τοῦ Θεοῦ νόμους συντηρῆσαι, ὅπως ὡς προστάτιν μου καταξίως μακαρίζω σε.

Φιλάνθρωπε Κύριε, ὁ οἰκτιρμοῖς ἀῤῥήτοις σου, σαρκωθεὶς ἐκ Παρθένου διὰ τὸ σῶσαί με, ῥῦσαι τὴν ψυχήν μου ἐκ πάσης δαιμονικῆς, πλάνης καὶ ἐνέδρας, καὶ πάσας ἐξάλειψον τὰς ἀπείρους ἁμαρτίας μου.

Φιλάγαθε Δέσποινα, πολλαῖς κεκακωμένην μου, τὴν ψυχὴν ἁμαρτίαις, ἤδη ἀγάθυνον, σῶσόν με πελάγει τοῦ βίου πολυειδῶς, Ἁγνὴ Θεοτόκε ἀεὶ χειμαζόμενον, καὶ σφοδρῶς κλυδωνιζόμενον.

Στιχηρὰ Προσόμοια. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Σῶσον Θεοτόκε ἀγαθὴ, τὸν ὑπὸ τὴν σκέπην τὴν θείαν σου καταφεύγοντα, πλήθη γὰρ ἐκύκλωσαν τὴν ταπεινήν μου ψυχὴν, πειρασμῶν τε καὶ θλίψεων, παθῶν καὶ κινδύνων, καὶ δεινῆς πωρώσεως, σκότος βαθύτατον. σπεῦσον πρὸ τοῦ φθάσαι τὸ τέλος, ῥῦσαι τυραννίδος δαιμόνων, καὶ τῆς αἰωνίου κατακρίσεως.

Ἄλλην κραταιὰν καταφυγὴν, καὶ ἰσχύος πύργον καὶ τεῖχος ἀκαταμάχητον, ὄντως οὐ κεκτήμεθα, εἰμὴ σὲ Πανάγνε, καὶ πρὸς σὲ καταφεύγοντες, θερμῶς ἐκβοῶμεν. Δέσποινα βοήθησον, μὴ ἀπολώμεθα, σῶσον τοὺς πιστῶς σε τιμῶντας, δεῖξον εἰς ἡμᾶς τὴν σὴν χάριν, καὶ τῆς εὐσπλαγχνίας σου τὸ μέγεθος.

Ἴδε τὴν ἀσθένειαν ἐμὴν, καὶ τὴν τῆς ἀθλίας ψυχῆς μου ταλαιπωρίαν δεινὴν, καὶ τὴν τῆς καρδίας μου κάκωσιν Δέσποινα, καὶ βολὰς διασκέδασον, ἐχθρῶν ἀοράτων, τῶν ἐπεμβαινόντων μοι, καὶ πολεμούντων δεινῶς. σὺ γὰρ ὡς Θεὸν τετοκυῖα, τοῖς ἐν διαφόροις κινδύνοις, δύνασαι παρέχειν ἀπολύτρωσιν.

Δέξαι τὴν ἱκέσιον ᾠδὴν, δέξαι μου τὸν θρῆνον Παρθένε, δέξαι τὴν δέησιν, δέξαι μου τὰ δάκρυα, τὸν στεναγμὸν τῆς ψυχῆς, καὶ τὸν θρῆνον ἀφάνισον, τὰ δάκρυα παῦσον, πάντα μεταῤῥύθμισον τὰ λυπηρὰ καὶ χαρὰν, δίδου τῷ τὴν σὴν ἐκζητοῦντι, θείαν προστασίαν καὶ σκέπην, ὁλοψύχῳ νεύσει Θεονύμφευτε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΠΑτρὶ συμφυῶς, τὸν νοούμενον Υἱὸν δυνάμει Πνεύματος, τοῦ Παναγίου ἐσωμάτωσας, Θεοχαρίτωτε Δέσποινα. τοῦτον οὖν ἀπαύστως δυσώπει, οἰκτειρῆσαι τοὺς μέλποντας, εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

ΠΑρθένε σεμνὴ, ἀπειρόγαμε Ἁγνὴ εὐλογημένη, καταπιπτόντων ἐπανόρθωσις, ἁμαρτανόντων ἡ λύτρωσις, σῶσόν με τὸν ἄσωτον, σῶσον, καὶ αἰωνίου κολάσεως, ἐξάρπασον ὡς συμπαθὴς, ἵνα δοξάζω σε.

Ὠδὴ, η'. Κάμινος ποτέ.

ΠΑ'θη τῆς ἐμῆς θεράπευσον καρδίας, τῇ συμπαθείᾳ σου Πανύμνητε, τὸν νοῦν μου εἰρήνευσον, τὴν ψυχήν μου φωταγώγησον, καὶ βαίνειν με εὐόδωσον, πρὸς τρίβους σωτηρίους, ὅπως ἀεὶ μακαρίζω σε.

ΡΎπου με παθῶν Ἁγνὴ προσγινομένου, τῇ μεσιτείᾳ σου καθάρισον, καὶ λάμπρυνον δέομαι σκοτισθεῖσαν τὴν καρδίαν μου, δαιμόνων ἀμαυρότησιν, ὅπως σε μακαρίζω, Θεομακάριστε Δέσποινα.

ἽΝα σε φωναῖς ὑμνῶ χαριστηρίοις, ἵνα δοξάζω σε Πανάμωμε, γενοῦ μοι προπύργιον, καὶ ὀχύρωμα καὶ στήριγμα, τῷ κλονουμένῳ πάντοθεν, αὔραις τῶν ἐναντίων, καὶ ἐκπεσεῖν κινδυνεύοντι.

ὝΨιστον Θεὸν σαρκὶ ἀποτεκοῦσα, ἀπὸ κοπρίας με ἀνύψωσον, παθῶν τῶν θλιβόντων με, καὶ δεινῶς ὅλον πτωχεύσαντα, ταῖς θείαις καταπλούτισον Πάναγνε ἀρεταῖς με, ὅπως ὑμνῶ σε σωζόμενος.

Ὠδὴ, θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

ΦΙλανθρωπίας με θείας, καταξίωσον Κόρη, ἡ μόνη τὸν φιλάνθρωπον Θεὸν, σάρκα ἐκ σοῦ δανεισάμενον, ἀπορρήτως τεκοῦσα, καὶ λύτρωσαι μελλούσης με φλογὸς, καὶ κολάσεως πάσης, τὸν πόθῳ σε δοξάζοντα.

ὩΣ κραταιὰν προστασίαν, ὡς ἐλπίδα καὶ τεῖχος, καὶ ἄγκυραν καὶ σκέπην ἀσφαλῆ, ὡς ἀπροσμάχητον ἔρεισμα, καὶ ἀχείμαστον ὅρμον, καὶ μόνην κραταιὰν καταφυγὴν, κεκτημένοι σε πάντες, σωζόμεθα Πανύμνητε.

ΣΎ με δικαίωσον ὅτε φανεροῦνται Παρθένε, τὰ κρύφια ἑκάστου ἐμφανῶς, ἔχεις γὰρ ὄντως τὸ δύνασθαι, καὶ τοῦ σκότους με ῥῦσαι, ἐν χώρᾳ δὲ κατάταξον φωτὸς, ἔνθα εὐφραινομένων χαρὰ ἡ ἀνεκλάλητος.

ΦΩ͂ς ἡ τεκοῦσα τὸ θεῖον, τὴν πολλαῖς σκοτισθεῖσαν, παθῶν ἐπαγωγαῖς καὶ λογισμῶν, ἀλλοκότων καρδίαν μου, φωταγώγησον Κόρη, σταγόνας χορηγοῦσα μοι ἀεὶ, δακρύων ὅπως πλύνω τὸν ῥύπον τῶν πταισμάτων μου.

Στιχηρὰ Προσόμοια. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

ΠΛοῦτος πτωχευόντων καὶ τροφὴ, καὶ καταφυγὴ τῶν πενήτων, καὶ ὀρφανῶν ἡ ἐλπὶς, σὺ ὑπάρχεις Δέσποινα, καὶ σὲ δοξάζομεν, οἱ ἐν θλίψεσι κράζοντες. Ἁγία Ἁγίων. λύτρωσαι προφθάσασα ἀχρείους δούλους σου,



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

πάσης ἐπηρείας δαιμόνων, καὶ τῆς χαλεπῆς τιμωρίας, τῆς αἰωνιζούσης κατακρίσεως.

ΝΕῦσον ταῖς δεήσεσιν Ἁγνὴ, τῶν σῶν οἰκετῶν καὶ παράσχου πηγὰς δακρύων ἡμῖν, ὅπως ἀποπλυνώμεθα τῶν ἐγκλημάτων ἡμῶν, τὰς κηλῖδας Παναμώμε, καὶ σβέσωμεν φλόγα, τοῦ διαιωνίζοντος καὶ πικροτάτου πυρός. σὺ γὰρ τῶν ἐξ ὅλης καρδίας, ἐπικαλουμένων σε πίστει, ἐπακούεις τάχει ὡς φιλάγαθος.

ΥΔωρ ὡς τεκοῦσα τῆς ζωῆς, τῆς ἀθανασίας τὸ νέκταρ Χριστὸν τὸν Κύριον, πότισόν με Πάναγνε ὕδωρ ἀφέσεως, καὶ τὸν νοῦν μου χαρίτωσον, νοήμασι θείοις, ὅπως τὰ σωτήρια πράττω θελήματα, ἵνα εὐφροσύνης ἀρρήτου, διὰ τῆς αὐτῶν ἐργασίας, τύχω καὶ δοξάζω σε τὴν Ἄχραντον.

ἍΠας ὁ Παράδεισος Ἁγνὴ, ἡ τῶν Οὐρανῶν Βασιλεία ἡ ἀδιάδοχος, δόξα ἡ αἰώνιος, ζωὴ ἡ ἄφραστος, εὐφροσύνη ἡ μέλλουσα, ὁ κλῆρος Ἁγίων, πᾶσα ἡ ἀπόλαυσις τῶν αἰωνίων καλῶν, σὺ εἶ καὶ πρὸς σοῦ ὁ Υἱός σου, ὧν ἀξιωθείημεν πάντες, ἱεραῖς πρεσβείαις σου οἱ δοῦλοί σου.

# ΤῊ ΠΕΜΠΤῌ ἙΣΠΕΡΑΣ.

## ΚΑΝΩ'Ν ΕἸΣ ΤῊΝ ΠΟΛΥΥ'ΜΝΗΤΟΝ ΘΕΟΤΟ'ΚΟΝ.

Ὠδὴ, α'. ἦχος, β'. Τὴν Μωσέως ᾠδήν.

ΜΕτανοίας καιρὸν, καὶ προθεσμίαν ἔχουσα ζωῆς, σεαυτὴν πρὸ τῆς ταφῆς καὶ τῆς ἐξόδου, ψυχή μου κλαῦσον, ἵνα μὴ θρηνήσῃς αἰώνια.

ΒΑρυτάτου βρυγμοῦ, τοῦ τῶν ὀδόντων ῥῦσαί με σεμνὴ, καὶ δακρύων στεναγμοῦ, καὶ πικροτάτου ψυχῆς ταρτάρου, σκότους ἐξωτέρου καὶ σκώληκος.

ΡΥπαρῶν λογισμῶν, καὶ ἀκαθάρτων καὶ φθοροποιῶν, βορβορώδης θολερὰ, πλημμύρα βλύζει ἐν τῇ ψυχῇ μου, δάκρυσιν Ἁγνὴ ταύτην ξήρανον.

ἩἈξίνη ἐγγὺς, ἡ ἀκαρπία σφύζει πρὸς τομὴν, ἡ ἀμέλεια πολλὴ, τὰ δὲ φορτία δυσβάστακτά μου, Δέσποινα Παρθένε βοήθει μοι.

Ὠδὴ, γ'. Στερεωθήτω μου τὸν νοῦν.

ΣΤεναγμὸς διηνεκὴς, συντρίβων καρδίαν, ταπεινώσαντα, μετανοίας καιρὸν, λογισμὸν ἐπιστροφῆς δός μοι Πανύμνητε.

Ὁ Ζοφώδης ποταμός, τοῦ πυρὸς τοῦ ἀφεγγοῦς, ὁ τάρταρος δέ, καὶ ὁ ᾄδου πυθμήν, πικρὰν ἕλκειν με ζωὴν καταναγκάζουσι.

Γεωργὸν τῶν οἰκτιρμῶν, χορηγὸν τῶν ἱλασμῶν ἡ τετοκυῖα, γεωργὸν ἀρετῶν, ἀθανάτων με φυτῶν ποίησον Δέσποινα.

Νοητῶς καὶ αἰσθητῶς, ἐν ἡμέρᾳ καὶ νυκτὶ προσπίπτοντά σοι, μετὰ πόνου ψυχῆς, νοητῶν καὶ αἰσθητῶν ἐχθρῶν με ῥῦσαι Ἁγνή.

Ὠδὴ δ'. Τὴν ἐκ Παρθένου σου γέννησιν.

Ἡ Ἀγεώργητος ἄρουρα, ἡ ἀνήροτος χώρα, ἡ βλαστήσασα χαράν, χαροποιοῦ κατανύξεως δακρυοβρύτου, χάρισαί μοι χάριν, καὶ χαρμόσυνον πένθος, ὅπως τύχω παρακλήσεως ἐκεῖ.

Δόλῳ τοῦ ὄφεως Δέσποινα, τῆς ἐν τῷ Παραδείσῳ ἐκπεσὼν διαγωγῆς, ὀδυνηρὸν καὶ πολύδακρυν βίον ᾐράμην. ὅθεν δυσωπῶ σε, τὴν ἀρχαίαν πατρίδα μου, καὶ φίλην διὰ σοῦ ἀπολαβεῖν.

Ἀπεγνωσμένος ἐξ ἔργων μου, καὶ μὴ ἔχων ἐλπίδα σωτηρίας παντελῶς, τοῖς οἰκτιρμοῖς σου Πανύμνητε, πίστει προστρέχω, τῶν ἀπηλπισμένων ἡ ἐλπίς, ἡ βεβαία καὶ μεγάλη, σῶσόν με Μῆτερ τοῦ Θεοῦ.

Κατανοῶν τὸ Κριτήριον, ἐν ᾧ μέλλω κριθῆναι ὁ κατάκριτος ἐγώ, θρηνῶ, δακρύω, καὶ κόπτομαι καὶ σκυθρωπάζω, πλήθη κεκτημένος, ἀμετρήτων πταισμάτων, καὶ βοῶ σοι, σῶσόν με Μῆτερ τοῦ Θεοῦ.

Ὠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

Ὠδῖνα τὴν ἐπώδυνον, ἡ ἀνωδύνως τὸν Χριστὸν τέξασα, δέξαι ψυχῆς ἀπὸ καρδίας, ἀναπεμπομένην, καὶ τῆς πανωδύνου γεέννης με λύτρωσαι.

Νυγέντα βέλει πικρῷ, πολεμήτορος ἐχθροῦ Δέσποινα, βέλει γλυκεῖ νύξον με τοῦ πόθου Χριστοῦ, τοῦ δι' ἐμέ, λόγχῃ νενυγμένου πλευρὰν τὴν ζωήρρυτον.

Ἡ συλλαβοῦσα Θεόν, δικαιοσύνης τὸν φαιδρὸν Ἥλιον, τὴν ἐν νυκτὶ τοῦ βίου ψυχήν μου καθεύδουσαν, τῆς σῆς πρεσβείας τῇ αἴγλῃ καταύγασον Δέσποινα.

Μαρία Πάναγνε, ἡ τῆς Σοφίας τὴν πηγὴν βλύσασα, Μήτηρ Χριστοῦ τῆς αὐτοσοφίας, σόφισόν με ἐκκλίνειν τὰ τοῦ σοφιστοῦ τῆς κακίας σοφίσματα.

Ὠδὴ ς'. Ἄβυσος ἁμαρτημάτων.

Ὄμβροις με δακρύων πλῦνον, καὶ κατανύξεως ῥείθροις, μέθυσον τὰς αὔλακας Ἁγνή, τὰς τῆς καρδίας μου, καὶ πλήθυνον τὰ γεννήματα ταύτης.

Λῦσον μου τὰς πολυπλόκους σειρὰς τῶν πλημμελημάτων, ῥῆξον τὰ χειρόγραφα σεμνή. πάντα γὰρ δύνασαι, γεννήσασα τὸν δεσπόζοντα πάντων.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Βιβλιοθήκη Μηλεών

Ἵσταμαι ἐν μεταιχμίῳ δύο παθῶν ἀντιρρόπων, ὥσπερ ἐν τρυτάνῃ καὶ ζυγῷ, πλὴν μὴ νικήσειεν ἀπόγνωσις τὴν ἐλπίδα μου Κόρη.

Βάσανοι καὶ τιμωρίαι, πικραὶ κολάσεις, δειμαῖαι μάστιγες, καὶ στρέβλαι καὶ δεσμά, ἄλυτα μένουσι τὴν ψυχήν μου, ὧν με ῥῦσαι Παρθένε.

Κοντάκιον. Εὐσπλαγχνίας ὑπάρχουσα πηγή.

Τίς εἶδε, τίς ἤκουσε Μητέρα, τίκτουσαν τὸν ἑαυτῆς δημιουργόν; ἀπειράνδρως θηλάσασαν, τὸν διδόντα τροφὴν πάσῃ σαρκί; ὢ τοῦ θαύματος. Θρόνος Χερουβικὸς ἐδείχθη ἡ γαστήρ σου Θεοτόκε, Κεχαριτωμένη πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ὠδὴ, ζ΄. Τὰ Χερουβὶμ μιμούμενοι.

Ἀνομιῶν κλυδώνιον, ζάλη πλημμελημάτων, χειμὼν ἁμαρτημάτων, παραπτωμάτων καταιγίς, τὴν ταπεινὴν ψυχήν μου, ταράττουσι Δέσποινα, καὶ ὠθοῦσιν εἰς ἀπογνώσεώς με βυθόν, λιμένι γαληνῷ τῷ τῆς μετανοίας, προσόρμισόν με Κόρη.

Συντετριμμένην Δέσποινα, καὶ τεταπεινωμένην, καρδίαν δώρησαί μοι, ὡς ἂν ἡμέρας καὶ νυκτός, περιπαθῶς θρηνήσας, Θεὸν ἱλεώσωμαι, ἕως ἔτι τῆς μετανοίας ἔχω καιρόν, πρὶν ἡ φοβερὰ τοῦ θανάτου ὥρα ἐπέλθῃ μοι ὡς κλέπτης.

Θρήνει ψυχὴ καὶ στέναζε, σκυθρώπαζε καὶ πένθει, ἵνα τὸ πένθος φύγῃς τὸ ἀπαράκλητον ἐκεῖ· ἰδοὺ γάρ σοι προλέγω, καὶ διαμαρτύρομαι, ὅτι εἴπερ μὴ μεταγνῷς ἐνταῦθα καλῶς, εἰς γέενναν πυρός, μέλλεις ἐμβληθῆναι, ἐν ᾗ πικρῶς θρηνήσεις.

Ἀκανθηφόρος ἄρουρα, χέρσα τριβολοτρόφος, καὶ γῆ κεχερσωμένη ἐξ ἐπομβρείας τῶν παθῶν, ὤφθη μου ἡ καρδία, διὸ καὶ ἀπέπνιξεν ὅνπερ εἶχε σπόρον τῶν ἀρετῶν, ἐκ Θεοῦ κατάρας παλαιᾶς, ἀλλ' οὐκ εὐλογίας βλαστήσασα βοτάνην. Ὠδὴ, η΄. Ἰνδάλματος χρυσοῦ.

Ἡ ἔξοδος ἐγγύς. διορύξαι τὴν οἰκίαν ὁ κλέπτης σπεύδει. εἰς χεῖρας εἴληφε τὸ δρέπανον ὁ θερίζων, καὶ ἀναμένει ἄνωθεν λαβεῖν τὸ σύνθημα. δεῦρο πρὸ τοῦ τέλους στενάξωμεν, κλαύσωμεν ὦ ψυχή μου, καὶ τῇ Θεοτόκῳ προσδράμωμεν ἐν πίστει.

Νεφέλη φωτεινή, ἀνέσπερε καὶ ἄδυτε Ἡλίου δόξης, πολυχαρίτωτον παλάτιον τοῦ Δεσπότου, πασῶν ὡραία Νυμφίου Νύμφη Δέσποινα, ὅτε ἐν νεφέλαις ὀχούμενος ἥξει ποιῆσαι κρίσιν, ὁ κοινὸς Δεσπότης, μνήσθητι τῆς ψυχῆς μου.

Ὁ νέος Οὐρανός, ὁ μυρίπνοος Παράδεισος καὶ εὐώδης, ἐν ᾧ ἐβλάστησε τὸ ξύλον τῆς ἀφθαρσίας, τοῦ Οὐρανίου Δείπνου κοινωνόν, καὶ μέτοχον δεῖξόν με Παρθένε, καὶ τῆς γλυκερᾶς καὶ εὐωδεστάτης, καὶ ἀδιαρρεύστου τρυφῆς τοῦ Παραδείσου.

Συνέ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΣΥνέχει μου στεμοὴ, τὴν ψυχὴν ἀμηχανία καὶ ἀπορία, εἰς τὸ παγκόσμιον Κριτήριον ὅταν ἴδω, καὶ τὸ φρικῶδες Βῆμα κατὰ νοῦν λογίσωμαι. ἀλλ᾽ ἡ συλλαβοῦσα τῆς Κτίσεως τὸν Κτίστην καὶ συνοχέα, ῥῦσαι τῆς ἐν ᾅδου συνοχῆς τὴν ψυχήν μου.

Ὠδὴ, θ΄. Τῶν γηγενῶν τίς ἤκουσε.

ΙΔοὺ καιρὸς ψυχή μου μετανοίας, καὶ δεῦρο κλαύσωμεν θερμῶς· ἐν γὰρ τῷ ᾅδῃ οὐκ ἔστιν ἐξομολόγησις· παροδικὸς γὰρ ὁ βίος καὶ βραχύδρομος, λυόμενος ὡς ὄναρ καὶ ὡς σκιὰ, ἢ ὡς καπνὸς εἰς ἀέρα σκεδαννύμενος.

ΝΥ͂ν πρὸς ἑσπέραν ἐστὶν ἡ ἡμέρα, καὶ πρὸς Δυσμὰς ἡλιακάς· ἡ ἑνδεκάτη γὰρ ὥρα ἤδη παρέδραμε· πρὶν ὁ Ἥλιος δύσῃ ψυχὴ τοῦ βίου, καὶ πρὶν σε καταλάβῃ θανάτου νὺξ, ἑτοίμαζέ σου τὰ ἔργα εἰς τὴν ἔξοδον.

ΟἹ Ποταμὸς ὁ πύρινος ἐλέγχειν, μέλλει τὰ ἔργα σου ψυχή. πόσον οὖν χρῄζεις δακρύων πολυαμάρτητε, ὡς ἀφλέκτως διέλθῃς τὸ πῦρ ἐκεῖνο. διὸ λουτρῷ δακρύων λοῦσον σαυτὴν, καὶ κατανύξεως ῥείθροις καθαρίσθητι.

ΥἹΠοχωρεῖ πᾶς ἔπαινός σοι Κόρη, καὶ πᾶν ἐγκώμιον βροτῶν. σὺ γὰρ ἐγκώμιον μᾶλλον ἡμῶν καὶ ἔπαινος· ἀντὶ παντὸς οὖν ἐπαίνου καὶ ἐγκωμίου, οἱ δοῦλοί σου Παρθένε, πόθῳ πολλῷ σὲ Θεοτόκον κυρίως ὀνομάζομεν.

Στιχηρὰ Προσόμοια. Ὅτε ἐκ τοῦ ξύλου.

ΤΡέμω τὸ Κριτήριον Ἁγνὴ, καὶ τὴν τοῦ πυρὸς τιμωρίαν τὴν αἰωνίζουσαν. καὶ τὴν ἀπαραίτητον ὁ τάλας γέενναν, τὸν βρυγμὸν τῶν ὀδόντων τε. καὶ τοῦ ἀκοιμήτου, σκώληκος Παναμώμου, τὴν ἀγριότητα. ὅθεν ἐν ὀδύνῃ καρδίας σὲ καθικετεύω Παρθένε, τῆς φρικτῆς με ῥῦσαι καταχρίσεως.

ὯΣπερ ἐν λιμένι προσδραμὼν, ὑπὸ τὴν ἁγίαν σου σκέπην, Παρθενομήτωρ Ἁγνὴ, δέομαι σπλαγχνίσθητι μὴ ἀπορρίψῃς με. ἀλλὰ ῥῦσαι τοῦ κλύδωνος, καὶ ζάλης τοῦ βίου· ἔχεις γὰρ τὸ δύνασθαι, καὶ συμπαθὲς ὡς Χριστὸν, ὄντως καὶ ἀῤῥήτως τεκοῦσα, πάντοτε πρεσβεύειν καὶ σώζειν, πάσης περιστάσεως τοὺς δούλους σου.

ὌΝτως ὑπερῆραν ἀληθῶς, τῶν ἁμαρτιῶν μου τὰ πλήθη, τὴν κεφαλήν μου Ἁγνή· καὶ αἱ ἀνομίαι μου ὑπερεπλήθυναν· καὶ φορτία δυσβάστακτα, καὶ ἀμέτρα λίαν, κέκτημαι ὁ δείλαιος, καὶ ἀδιόρθωτος· σὺ οὖν τῇ θερμῇ σου πρεσβείᾳ, πρόφθασον, καὶ σῶσόν με μόνη, τῶν ἁμαρτανόντων ἡ διόρθωσις.

ΔΟ͂ς μοι μετανοίας λογισμὸν, δὸς καὶ κατανύξεως πόθον, τῇ ταπεινῇ μου ψυχῇ, ἔγειρον ἐξ ὕπνου με, δεινῆς πωρώσεως, καὶ τὸ σκότος ἀπέλασον, Παναμώμε Κόρη, τὸ τῆς ἀπογνώσεως, λῦσον τὴν ζόφωσιν. ὅπως μετὰ τὸν ἐκ σοῦ σαρκωθέντα, διὰ σοῦ τυχὼν σωτηρίας, καταξιωθέως Κόρη μεγαλύνω σε.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂ ΚΥΡΙΑΚΗ͂,

## ἙΣΠΕΡΑΣ, ΚΑΝΩ͂Ν ΕἸΣ ΤΗ͂Ν ΠΑΝΥ͂ΜΝΗΤΟΝ ΘΕΟΤΟ͂ΚΟΝ.

### Ἦχος, Γ΄.

Ὠδὴ, α΄. Ὁ τὰ ὕδατα πάλαι.

ΤΟ`Ν Σωτῆρά μου Λόγον, ἡ διὰ λόγου κυήσασα, σαρκικῶς ὑπὲρ λόγον, λογικὸν ὄντα με καὶ ταῖς ἀλόγοις ὁρμαῖς, ἀλόγως ὑπείκοντα τῶν σαρκικῶν θελημάτων, λόγῳ σου σωφρόνισον, ἵνα δοξάζω σε.

Ἁγιάσματος οἶκε, σκήνωμα δόξης Κυρίου, θυμιατήριον θεῖον, τοῦ σεπτοῦ Ἄχραντε, ἀΰλου ἄνθρακος, πᾶσαν εὐωδίασον, ψυχῆς ἐμῆς δυσωδίαν, καὶ τὸν νοῦν ἁγίασον καὶ τὴν καρδίαν μου.

Πορνικαῖς ἀσελγείαις, καὶ μυσαραῖς ἐργασίαις, καταμιάνας τὴν σάρκα, τὸν ναὸν ἔφθειρα τοῦ σώματός μου αἰσχρῶς, Ναὲ καθαρώτατε θείας, οὐσίας τὸν νοῦν μου, ῥαντισμῷ καθάρισον ὑσσώπου κρείττονος.

Βεβηλώσας ἀφρόνως τὸ κατ' εἰκόνα, τοῖς πάθεσι τῆς σαρκός μου Παρθένε, τοῦ Θεοῦ δέδοικα τὴν ἀγανάκτησιν, καὶ τὸ φρικωδέστατον τῆς τοῦ πυρὸς τιμωρίας· ἀλλ' αὐτὴ ἐλέησον τὸν προσφυγόντα σοι.

Ὠδὴ, γ΄. Ὁ ἐκ μὴ ὄντων.

Νυκτομαχοῦσαν τὴν ταλαίπωρόν μου ψυχὴν, νυκτὶ φαύλων πράξεων, ζοφερῶν ἐνθυμήσεων, ἡ τεκοῦσα Ἥλιον, δικαιοσύνης καταύγασον φωτί σου.

Με-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΜΕμολυσμένον τῷ λύθρῳ τῶν ἡδονῶν, ἀμόλυντε Δέσποινα, ῥαντισμῷ τοῦ ἐλέους σου, ὡς ὑσσώπῳ κάθαρον, καὶ μολυσμοῦ τῶν παθῶν ἀπόπλυνόν με.

ΕΝ τῇ ἐτάσει σῆς κρίσεως τῆς φρικτῆς, ἐν ᾗ παραστήσομαι καὶ γυμνὸς καὶ κατάκριτος, τῷ σῷ Χριστὲ Βήματι, ταῖς τῆς Μητρός σου λιταῖς πυρός με ῥῦσαι.

ΛΕλαμπρυσμένη Θεότητος καλλοναῖς, ὡς Νύμφη Παναμώμος, ὡς ὡραία Βασίλισσα, σῷ Υἱῷ παρίσταται, τῷ ἀληθεῖ Βασιλεῖ ἄφθορε Κόρη.

Ὠδὴ, δ'. Ἔθου πρὸς ἡμᾶς.

ΕἜχουσα καιρὸν, μετανοίας καὶ διορθώσεως, λάβε λογισμὸν ἐπιστροφῆς, καὶ σεαυτὴν ψυχή μου βελτίωσον, μήπως καταλάβῃ σε, ὀργὴ Κυρίου ὡς ἀμετανόητον.

ἍΡματι φρικτῷ, Χερουβὶμ Θεὸν τὸν ὀχούμενον, ὄχημα Θεόδεκτον σεμνὴ, σωματικῶς ὡς βρέφος ἐβάστασας, καὶ γάλακτι ἔθρεψας, ὢ μυστηρίου, ὢ φρικτοῦ ἀκούσματος.

ΜΌνος ἐν βροτοῖς, τὰ σεπτά σου σπλάγχνα παρώργισα, μόνος γὰρ ἐπίκρανα Χριστὲ, τὴν ὑπερβάλλουσάν σου χρηστότητα, δι' ἧς με ἐλέησον, ταῖς ἱκεσίαις τῆς Ἁγνῆς Τεκούσης σε.

ὍΤαν ἐν νυκτὶ, ὁ Νυμφίος ἔλθῃ τοῦ κρῖναί με, τότε εἰς ἀπάντησιν αὐτοῦ, μετὰ λαμπρᾶς λαμπάδος εὐδόκησον, ἐξελθεῖν με Πανάγνε, καὶ προσκυνῆσαι τούτου τὴν ἔλευσιν.

Ὠδὴ, έ. Ἐπὶ τῆς γῆς ὁ ἀόρατος ὤφθη.

ἸΛιγγιῶ εἰς τὸ πέλαγος βλέπων τὸ ἀχανὲς, τῶν ἐμῶν ἐγκλημάτων Θεογεννήτρια· διὸ πρὸς τὴν ἄβυσσον, καταφεύγω τοῦ ἐλέους σου.

ἈΝομιῶν συνταράσσει με κλύδων, ἁμαρτιῶν περιστρέφει με ζάλη, καὶ καταιγὶς τῶν παθῶν, πρὸς λιμένα Δέσποινα, μετανοίας κυβέρνησον.

ΠΡὸ τῶν πυλῶν ἡ τομὴ τοῦ θανάτου ἰδοὺ ψυχὴ ἐγγίζει. τί βραδύνεις; τάχος ἀνάνηψον, καὶ καρποὺς προσάγαγε, μετανοίας τῷ Δεσπότῃ σου.

ΠΈτραν στερεὰν ἀρραγῆ σκληρανθεῖσαν καὶ ἀνικμον, τὴν πεπωρωμένην μου ψυχὴν, τῇ κατανύξει Κόρη ἀπάλυνον, καὶ δεῖξον ἀκρότομον βλύζουσαν πέτραν, δάκρυα ὡς ὕδατα.

ἼΔε Ἁγνὴ τὴν ἀσθένειαν ἴδε, τῆς ταπεινῆς καὶ ἀθλίας ψυχῆς μου, καὶ ἀοράτων ἐχθρῶν τῆς ἐπαναστάσεως, καὶ τῆς τούτων βλάβης ῥῦσαί με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ ς'. Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων.

Τὴν ἐν παρθένοις παιδοτόκον, καὶ Παρθένον ἐν μητράσιν ἁγνήν, τὸ θαυμαστὸν ἐν Οὐρανῷ, καὶ φρικτὸν ἐν γῇ μυστήριον, τὴν ὄντως Θεοτόκον, καὶ ἀληθῶς Κυριοτόκον ἀνυμνῶ σε Παρθένε.

Νενεκρωμένην περιφέρω, ὡς ἐν σήματι τῷ σώματι, τὴν παναθλίαν μου ψυχήν, τὴν ζωὴν τὴν ἐνυπόστατον, βοῶ σοι τῇ τεκούσῃ, σπεῦσον Ἁγνὴ ζωῶσαι με, καὶ φωτίσαι καὶ σῶσαι.

Τὸν εἰς κατώτατον κακίας, πεπτωκότα Κόρη βάραθρον, τῇ συμπαθεῖ σου δεξιᾷ, φιλανθρώπως με ἀνάγαγε, φιλάνθρωπον Δεσπότην καὶ δεξιὰν ἡ τέξασα τοῦ Θεοῦ τοῦ Ὑψίστου.

Ὡς τὸν ὑψαύχενα ζηλώσας, Φαρισαῖον καὶ μεγάλαυχον, τῇ διανοίᾳ ἐπαρθείς, κατηνέχθην εἰς ἀπόνοιαν, κἀμοὶ τὴν τοῦ Τελώνου ὑψοποιὸν ταπείνωσιν Θεοτόκε παράσχου.

Θρηνῶ καὶ κλαίω καὶ ὀδύρομαι, ὁπηνίκα τὸ Κριτήριον τὸ φοβερὸν ἐνθυμηθῶ· πονηρὰ γὰρ ἔργα κέκτημαι, ἀπείρανδρε Μαρία Μῆτερ Χριστοῦ, ἐν ὥρᾳ τῇ φοβερᾷ πρόστηθί μοι.

Κάθισμα. Θείας πίστεως.

Θρήνων ἄξια, ψυχὴ τελοῦσα, θρήνει στέναζε, δάκρυε πένθει, πρὶν κλαυθμός σε καταλάβῃ πικρότατος, καὶ ἀπαράκλητον πένθος ἐκδέξεται, καὶ αἱ τοῦ ᾅδου κολάσεις καθέξουσι, πρὸς μετάνοιαν θερμήν. συνεργὸν γὰρ κέκτησαι Παρθένον τὴν Ἁγνὴν καὶ Θεομήτορα.

Ὠδὴ ζ'. Τρεῖς παῖδες ἐν καμίνῳ.

Τρυγήσας ἁμαρτίας τοὺς καρποὺς τεθανάτωμαι, καὶ προσφέρων τὴν ψυχὴν ἄκαρπον κράζω σοι· καρποφόρον με δεῖξον, ἡ τῷ καρπῷ σου τὴν φθορὰν ἐξαφανίσασα.

Ἐξ ἔργων σωτηρία, οὐχ ὑπάρχει μοι Δέσποινα· ἁμαρτίας γὰρ προστίθω ἁμαρτήμασι, καὶ τῇ κακίᾳ κακίαν, τῇ οὖν πρεσβείᾳ σου Ἁγνὴ πρόφθασον σῶσόν με.

Ἡ Κρίσις ἐπὶ θύραις, τὸ Κριτήριον ἕτοιμον, ἑτοιμάζου ταπεινὴ ψυχή, καὶ βόησον· ἐν τῷ κρίνειν σε Λόγε, μὴ κατακρίνῃς με εὐχαῖς τῆς κυησάσης σε.

Ὢ ξένου μυστηρίου, ὢ φρικτῆς ἐννοήσεως, πῶς Θεὸς ἐπὶ τῆς γῆς, ὤφθη ὡς ἄνθρωπος, πῶς ὡς οἶδεν, ὡς θέλει, ὡς εὐδοκεῖ, καὶ ἐνεργεῖ καθὰ καὶ βούλεται.

Ὠδὴ η'. Ἀστέκτῳ πυρί.

Ὁ φόβος ἁγνὸς τοῦ Κυρίου, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος διαμένων, ὃν ὁ λάγνος ἐγὼ μισήσας, ἄναγνος γεγένημαι· ἐναγῶς γὰρ πάσῃ λαγνείᾳ συνέζησα, δεῖξον οὖν ἁγνόν με ὑπέραγνε Μαρία.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Λυχνία φωτὸς τοῦ ἀΰλου, πάγχρυσε παστὰς, ἠγλαϊσμένη θεία κλίνη, καὶ πυρίμορφε θρόνε δόξης, ἔμψυχον παλάτιον, καὶ ταμεῖον πλῆρες πάσης καθαρότητος, καὶ ἁγιωσύνης, ἁγίασον τὸν νοῦν μου.

Ζηλώσας τὸν ἄσωτον ὄντως, καὶ τὸν βίον ὅλον μου τελέσας ἁμαρτίαις, νῦν κραυγάζω ἡμάρτηκά σοι, ποίησόν με Δέσποτα, ὡς ἕνα τῶν μισθίων σου, καὶ σῶσόν με ὡς εὔσπλαγχνος, ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Πεποικιλμένος κακίᾳ, περιβεβλημένος ἀσωτείᾳ δυσωπῶ σε, τὴν ἐν δόξῃ πεποικιλμένην, περιβεβλημένην τε, διάχρυσα Κόρη ἐσθῆτι Θεότητος, στολὴν ἀπαθείας, λαμπρὰν περιβαλεῖν με.

Ὠδὴ, θ'. Ἐν Σιναίῳ τῷ ὄρει.

Νοερῶς παρεστάναι τῷ Βήματι, τῷ ἀσέπτῳ καὶ φρικτῷ, τοῦ ἀχράντου σου τόκου Παναχράντε, ὁ κατάκειτος δοκῶν, περιηγκωνισμένος, εὔτομος περίφοβος, ἀναπολόγητος καὶ γεγυμνωμένος, καλῶ σε βοήθειαν.

Ἡ Παστὰς ἡ χρυσῆ καὶ Θεόπλοκος, φαίδρυνόν μου τὴν ψυχήν. ἡ Οὐράνιος πύλη τὴν εἴσοδον, ἄνοιξόν μοι τῆς ζωῆς, ἡ Ἁγία Ἁγίων, τὸν νοῦν μου ἁγίασον, γῆ ἀνήροτος δεῖξόν με τῆς γῆς πραέων οἰκήτορα.

Σύ μου στόρεσον ἅπαν κλυδώνιον, πολυτρόπων συμφορῶν, σὺ χαρᾶς τὴν καρδίαν μου πλήρωσον, πᾶσαν λύπην ἀπ' ἐμοῦ, ἐκδιώκουσα Κόρη, τὰς νόσους ἀπέλασον, τὰ δάκρυα κόπασον, ἡ χαρὰν πηγάζουσα τοῖς ἀνυμνοῦσί σε.

Δεῦτε πάντες οἱ Πιστοὶ προσπέσωμεν τῇ Μητρὶ τοῦ Ἰησοῦ, καὶ πρὸ τέλους συνάξωμεν, κλαύσωμεν καὶ θρηνήσωμεν πικρῶς, ἐν θερμῇ κατανύξει, ταύτης κατενώπιον, Δέσποινα κράζοντες, σπεῦσον μὴ ἐάσῃς ἡμᾶς ἀπολέσθαι πυρί.

Στιχηρὰ Προσόμοια. Μεγάλη τοῦ Σταυροῦ σου.

Κινδύνων τῷ πελάγει νῦν κλυδωνιζόμενον, τὸν δοῦλόν σου Παρθένε, καὶ συμφορῶν ἐν πλήθει, ῥιπιζόμενον, οἰκτείρησον καὶ σῶσον, τῶν οἰκτιρμῶν ἡ τεκοῦσα πέλαγος τὸ ἀμέτρητον Κόρη.

Ἡ Μόνη προστασία καὶ Πιστῶν βοήθεια, κακίας με τὸν μόνον, εἰς βυθὸν ἐμπεσόντα, ἐξανάστησον ταῖς ἱκεσίαις Κόρη, καὶ πρὸς ζωὴν εὔθυνον, ἵνα δοξάζω σε εἰς αἰῶνας αἰώνων.

Οὐκ ἔχω παῤῥησίαν ὅλως ὁ κατάκειτος, εἰς ὕψος ἀτενίσαι, τοῦ Οὐρανοῦ καὶ βλέψαι, ὑπὸ πλήθους καθελκόμενος πταισμάτων, λοιπὸν ὡς ὁ Τελώνης, βοῶ ἱλάσθητι, τῷ ἀθλίῳ μοι Σῶτερ.

Τὰ πάθη τῆς ἀθλίας μου ψυχῆς καὶ σώματος, δεινῶς ἐπαναστάντα, βυθίζουσί με ἄμφω, καὶ πρὸς βάθος ἀπογνώσεως ἕλκουσιν, ἀλλὰ σὺ πανύμνητε, ταῦτα κατεύνασον, καὶ γαλήνην μοι δίδου.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂Ι ΔΕΥΤΕ΄ΡΑ͂Ι, ΕΣΠΕ΄ΡΑΣ,

## ΚΑΝΩ΄Ν ΕΙ᾿Σ ΤΗ`Ν

# ΥΠΕΡΑΓΙ΄ΑΝ ΘΕΟΤΟ΄ΚΟΝ.

Ὠδὴ, α΄. ἦχος, γ΄. Ὁ τὰ ὕδατα πάλαι.

Χρυσοπόρφυρε κλίνη, σκήνωμα δόξης Κυρίου, θυμιατήριον θεῖον, τοῦ σεπτοῦ ἄνθρακος τοῦ ἀΰλου ἄνθρακος, πᾶσαν δυσωδίασον, ψυχῆς ἐμῆς δυσωδίαν, καὶ τὸν νοῦν ἁγίασον καὶ τὴν καρδίαν μου.

Πορνικαῖς ἀσελγείαις καὶ μυσαραῖς ἐργασίαις, καταμιάνας μου τὸν ναὸν ἔφθειρα τοῦ σώματός μου αἰσχρῶς, ναὲ καθαρώτατε, θείας οὐσίας τὸν νοῦν μου, ῥαντισμῷ καθάρισον ὑσσώπου κρείττονος.

Σωματώσεως θείας, ὑπερουσίου οὐσίας, ὄργανον σκευασμένον, παντουργῷ Πνεύματι καὶ ἐργαστήριον, φρικτοῦ συναλλάγματος, Θεογεννῆτορ ἐδείχθης, σχῆμα λαμπρότερον ἀΰλων τάξεων.

Ἀπληστὴς ἀδδηφάγος, πλούσιος νέος, πορφύραν ἐνδεδυμένος καὶ βύσσον, ἐρυθρῷ χρώματι πεφοινιγμένην παθῶν, στολὴν ἐγὼ πέφυκα, τὴν δὲ ψυχὴν παρορῶ μου, Λάζαρον ὡς πένητα λιμῷ παλαίουσαν.

Ὠδὴ, γ΄. Ὁ ἐκ μὴ ὄντων.

Ὁ τὰ μὴ ὄντα εἰς ὄντα μετενεγκὼν, καὶ τούτοις ἐνθέμενος, τοῦ εἶναι φύσιν ὑπερφυῶς Παναγία Δέσποινα, ἐκ σοῦ λαμβάνει ἀρχὴν σαρκὶ τοῦ εἶναι.

Νομὴν θανάτου τὴν ἄσχετον καὶ φθορὰν, ὡς ἔστησας τέξασα ζωὴν τὴν ἐνυπόστατον, τὴν μονὴν ἀνάστειλον, τῶν ἑλκοβρύτων τραυμάτων τῆς ψυχῆς μου.

Ἀπεγνωσμένος ἐκ πλήθους ἁμαρτιῶν, πρὸς τὴν Ἀκαταίσχυντον σὲ προστάτιν κατέφυγον, ἐναρέτου βίου μοι, χειραγωγία γενοῦ καὶ ὁδηγία.

Γεγυμνωμένος τῆς θείας περιβολῆς, ἔρημος παρέρριμμαι, βοηθείας ὁ δείλαιος, Θεοτόκε σκέπασον, τὴν γύμνωσίν μου τῇ σῇ ἁγίᾳ σκέπῃ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, δ'. Ἔθου πρὸς ἡμᾶς.

ΤΡόμος ἐπ' ἐμὲ, καὶ παλμὸς καὶ κλόνος ἐλήλυθε. τοῦ μονογενοῦς γάρ σου Υἱοῦ, τῆς φοβερᾶς δευτέρας ἐλεύσεως ἐμνήσθην Πανάχραντε, καὶ τῶν ἀξίων τῆς συναπαντήσεως.

ΡΗ͂μα γοερὸν, ἐν κλαυθμῷ καὶ πένθει καὶ δάκρυσι, τεταπεινωμένης ἐκ ψυχῆς, ὥσπερ εὐῶδες θῦμα Πανάμωμε, τὸ σοὶ προσφερόμενον, προσδεδεγμένη ῥῦσαί με κολάσεως.

ΤΟ'ν ἐκ τοῦ Πατρὸς, γεννηθέντα πρώην ἀμήτορα, ὕστερον ἀπάτορα σαρκὶ, φιλανθρωπίας πλούτῳ πτωχεύσαντα, Θεοτόκε τέτοκας, ὑπὲρ αἰτίαν καὶ ὑπὲρ κατάληψιν.

ΤΡέμω ἐννοῶν τῶν ἁμαρτιῶν μου τὸ πέλαγος. αὖθις δὲ θαῤῥῶν κατανοῶ τῶν οἰκτιρμῶν σου Κόρη τὴν ἄβυσσον, ἐν ᾗ με κατάδυσον, καὶ σωτηρίας ὅρμῳ με προσόρμισον.

Ὠδὴ, ε'. Πρὸς σὲ ὀρθρίζω.

Α'Σώτου δίκην, ἀποσκιρτήσας ἐκ Θεοῦ, διὰ φαυλότητα γνώμης ἀκολάστου, φρενοβλαβῶς πονηροῖς πολίταις, αἰσχροῖς δουλεύω πάθεσιν.

Ο'Δύνην πόνον, καὶ τὴν ἐσχάτην συνοχὴν πρὸ ὀφθαλμῶν ψυχὴ, τοῦ βιαίου χωρισμοῦ, διὰ παντὸς κεκτημένη, θρήνει σαυτὴν πρὸ τῆς ἐξόδου σου.

Υ'Πεξεδύθην, τὸν τῆς ὑγείας στολισμὸν, καὶ τὸν ποδήρη χιτῶνα ἐν ὀδύναις περικλυσθεὶς, Σὲ αἰτοῦμαι Δέσποινα, ἐνδύσασθαι τὴν ἴασιν.

ὩΣ τῶν Μαρτύρων, καὶ Ἀποστόλων ἱερῶν οὖσαν εὐπρέπειαν Θεοτόκε. καὶ τῶν πιστῶν προστασίαν ἅπαντες ἀξίως σε δοξάζομεν.

Ὠδὴ, ς'. Ἄβυσσος ἐσχάτη.

Ε'Μφοβον τὸν χρόνον δεῖσε διατελεῖν, ψυχὴ ἀθλία τῆς παροικίας σου. οὐ χρυσῷ ἀργυρῷ τε φθαρτοῖς, τιμήμασιν ἐῤῥύσθης, παναχράντῳ δὲ Χριστοῦ τιμίῳ Αἵματι.

ΠΑ͂σα σὰρξ ὡς χόρτος ἐπὶ τῆς γῆς. καὶ πᾶσα δόξα ἀνθρωπίνη, ὡς ἄνθος ἀγροῦ. διὸ καὶ μαραίνεται, ὥσπερ ῥόδον ὠκύμορον, καὶ παρέρχεται ὡς ὄναρ ἀνυπόστατον.

Υ'Περθεν ἀνῆλθοσαν ἀληθῶς, τῆς κεφαλῆς μου αἱ πολλαὶ ἀνομίαι μου. ὡς βαρὺ φορτίον δὲ ἐπ' ἐμὲ ἐβαρύνθησαν. ἀλλ' ἐλάφρυνον τὸν κλοιόν μου πανύμνητε.

ΜΟ'νην σε πασῶν ἀπὸ γενεῶν, Θεὸς ὁ μόνος εἰς μονὴν ἐξελέξατο. Θεομῆτορ μόνη γὰρ, τὴν πασῶν ὑπερέχουσαν ἁγιότητα, πλουτεῖς καὶ καθαρότητα.

Καθι-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Κάθισμα. Θείας Πίστεως.

Φῶς ἀνέσπερον, ἄδυτον φέγγος. μέγαν Ἥλιον δικαιοσύνης. Θεογεννῆτορ ἀνατείλασα Δέσποινα. τῆς μετανοίας φωτὶ καταλάμπρυνον. τὴν σκοτισθεῖσαν ψυχήν μου τοῖς πάθεσι. καὶ ἀνάδειξον φωτὸς κοινωνὸν καὶ μέτοχον. ἡμέρας τε υἱὸν καὶ κληρονόμον με.

Ὠδὴ, ζ'. Ὡς πάλαι τοὺς δυσσεβεῖς.

Ναμάτων ζωοποιῶν, διψῶντα με κόρεσον, ζωαρχικοῦ ὕδατος πηγὴ, ὡς μὴ δεηθῶ τοῦ πυρὸς ἐν τῇ φλογὶ δακτύλου δροσίζοντος, ἀκροβαφοῦς ἐν ὕδατι καιομένην μου τὴν γλῶσσαν.

Ὁ βίος μου πονηρὸς, γεέννης ὑπόδικος, καὶ ποταμοῦ τοῦ πυριφλεγοῦς. ἡ δὲ ῥυπωθεῖσα καὶ ἀθλία μου ψυχὴ, σαρκικῆς ἀνάπλεως ἀκαθαρσίας, Δέσποινα, ἣν καθάρισον ἐν τάχει.

Σαλεύει με λογισμῶν, ἀτάκτων κλυδώνιον, καὶ καταιγὶς διαβολικὴ, τῶν φθοροποιῶν συμπαράσει ἐννοιῶν, εἰς βυθὸν καθέλκουσα τῆς ἁμαρτίας. σῶσον με κυβέρνησον Θεοτόκε Δέσποινα.

Σπλαγχνίσθητι ἐπ' ἐμοὶ, Παρθένε Θεόνυμφε. εἰς ἀπογνώσεως τὸν βυθὸν κατωλισθηκὼς, σὲ γαλήνην αἰτοῦμαι, γενέσθαι μοι Ἄχραντε. τῆς σωτηρίας πέφυκας λιμὴν γὰρ τῶν ἐν ἀνάγκαις ἀεί.

Ὠδὴ, η'. Τὸν ὑπ' Ἀγγέλων δόξης.

Ὢ πόσα μέλλεις ἀνονήτως, ἐν ὑστέρῳ σαυτὴν μέμφεσθαι ψυχή. πῶς παλαΐζειν ἀκερδῶς, καὶ ἀθλίως μεταμέλεσθαι, ἐφ' οἷς νῦν οὐκ αἰσθάνῃ δρῶσα κακῶς, ἀκαίρως καὶ μάταια λυπουμένη.

Ἄγγελος ἥξει γὰρ βιαίως, κατηφῆ καὶ σκυθρωπάζουσαν δεινῶς, σύρων ἀπάγων σε σειραῖς δεδεμένην, αἷσπερ ἔπλεξας ἰδίοις σου δακτύλοις. ὅτε οὐδὲν συμφέρον μεταβουλεύσασθαι χοΐς.

Νυμφῶνος θείου μοι τὴν θύραν, Νύμφη Πάναγνε τῆς δόξης Θεοῦ, μὴ ἀποκλείσῃς. ἀλλὰ δὸς τῶν δικαίων τῆς φαιδρότητος, κἀμὲ καταπολαῦσαι, ἁμαρτωλῶν τῆς σκυθρωπῆς κατηφείας ῥυσθέντα.

Ἡ κοσμοσώστου Θεοῦ Μήτηρ, καὶ τοῦ Κόσμου ἡ ἀντίληψις, τῶν κοσμικῶν με ἡδονῶν, παναμώμητε διάσωσον, ᾠδαῖς σε παγκοσμίοις ἵνα ὑμνῶ, ἀκαταπαύστως καὶ μεγαλύνω σε.

Ὠδὴ, θ'. Καινὸν τὸ θαῦμα.

Νηχόμενόν με, βάθος συμφορῶν, καὶ κλυδωνιζόμενον, ἀβύσσῳ ἁμαρτιῶν, Θεοτόκε Δέσποινα, λιμὴν τῶν ἐν ζάλῃ, πρὸς σωτηρίας ὅρμον τὸν ἀκύμαντον, ὁδήγησον ἰθύνον, καὶ στῆσον ἐπὶ τὴν πέτραν, τῆς ἀληθοῦς μετανοίας με ἄσειστον.



Δημόσια Βιβλιοθήκη Μηλεών

Δακρύω στένω, κλαίω καὶ θρηνῶ, καὶ τὸν ὀδυρμῶν χορὸν ὅλως οὐ θέλω λαβεῖν, ἀναλογιζόμενος τὴν θλίψιν ἐκείνην, τὴν ἀθυμίαν τὴν ἀπαραμύθητον, τῶν φίλων ὁμοῦ καὶ βοηθούντων τὴν ἐρημίαν, καὶ ἀπορίαν τὴν ἀπαράκλητον.

Θεράπευσόν με Μῆτερ τοῦ Θεοῦ. ὥσπερ τὸν Παράλυτον ὁ σὸς Υἱὸς, τὸν πολλοῖς χρόνοις κατακείμενον, ἐν κλίνῃ κακίας, καὶ ὥσπερ κράββατον τὸ σῶμα, ἆραι κἀμὲ μετέωρον ἔργοις ἐναρέτοις, καὶ προσελθεῖν εἰς Οὐρανῶν κατοικίαν ἐπίταξον.

Λυτῆρα νόσων, τέξασα Θεὸν, ἰατῆρα πόνων τε καὶ ὀλετῆρα παθῶν, πονηρῶν πνευμάτων δὲ σφοδρὸν ἐλατῆρα, καὶ τῶν ψυχῶν Σωτῆρα καὶ Πατέρα κοινὸν, τὸ ἄλγος τῆς ψυχῆς μου, καὶ τὴν ὀδύνην, καὶ τὴν ταλαιπωρίαν θεράπευσον.

Στιχηρὰ Προσόμοια. Μεγάλη τοῦ Σταυροῦ σου.

Σὺ μόνη προστασία, πέλεις ἀκαταίσχυντος, καὶ καύχημα καὶ σκέπη, Χριστιανῶν καὶ δόξα, σύ μου στέρησον τοὺς πόνους καὶ τὰ νέφη, τῶν συμφορῶν Ἄχραντε, μετάστρεψον θυμηδίας πρὸς φέγγος.

Μὴ λίπῃς ἐκτενῶς Παρθένε ἱκετεύουσα, τὸν σὸν Υἱὸν οἰκτεῖραι, ἡμᾶς τοὺς σοὺς οἰκέτας, τοὺς προστρέχοντας ἐν πίστει τῷ Ναῷ σου, καὶ ἐν αὐτῷ πάντοτε, σὲ ἱκετεύοντας τὴν πηγὴν τοῦ ἐλέους.

Τὸν μόσχον ἡ τεκοῦσα, δάμαλις τὸν ἄμωμον. χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη. χαῖρε τίμιον ἀγλάϊσμα Ἀγγέλων. χαῖρε ζωῆς πρόξενε ἀνύμφευτε Θεοτόκε Μαρία.

Μὴ παύσῃ ἱκετεύουσα, ὑπὲρ τῆς ποίμνης σου. ἀλλὰ ταῖς σαῖς πρεσβείαις, μελλούσης ἡμᾶς λύτρωσαι, ἀπειλῆς καὶ ἐνεστώσης βλάβης, καὶ τῆς ὀργῆς Κυρίου, πάντας ἐξάρπασον Θεοτόκε τοὺς δούλους.

## ΤΗ͂, ΤΡΙ΄ΤΗ, Ε῾ΣΠΕ΄ΡΑΣ,

### ΚΑΝΩ΄Ν ΕΙ΄Σ ΤΗ΄Ν

## ΥΠΕΡΑΓΙ΄ΑΝ ΘΕΟΤΟ΄ΚΟΝ.

Ὠδὴ, α. ἦχος γ'. Χέρσον ἀβυσσοτόκον.

Τὴν Κεχαριτωμένην μόνην Δέσποιναν, τὴν καλὴν ἐν γυναιξὶ, τὴν ἑπτάφωτον λυχνίαν, τὴν παναμώμητον Νύμφην, τὸ ἔμψυχον Θεοῦ σκήνωμα, τὴν κιβωτὸν τὴν πάγχρυσον ἅπαντες, τὴν ἁγίαν Παρθένον μακαρίσωμεν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ρ Εὔσασαν τὴν βροτείαν φύσιν ἄνωθεν, τῆς ἀμείνονος ζωῆς, καὶ χωρίου χλοηφόρου, ζωηροῦ Παραδείσου, ἀτίμως ἐκβληθεῖσαν Κόρη, καὶ ἐκπεσοῦσαν δόξης Θεοῦ, μείζονα ἐπὶ δόξαν ἀνήγαγες Πανύμνητε.

Ι Λαστήριον θεῖον, ζῶσα τράπεζα, καὶ χρυσόπλοκε παστάς, πορφυρόμορφε νεφέλη. Οὐρανῶν πλατυτέρα, ὑπέρτατε Θεοῦ θρόνε, πυριφλεγὲς παλάτιον, ἔμψυχε Θεοῦ Πόλις, ἐλέησόν με Δέσποινα.

Ο Ρπηξ ἐκ Βασιλίδος ῥίζης ἐξανθήσασα, καὶ φυλῆς Βασιλικῆς, ἡ Χριστὸν τὸν Βασιλέα, τὸ ἀμάραντον ἄνθος ἀνθήσασα, περιβεβλημένον Βασιλικὴν πορφύραν λαμπρὰν, Δέσποινα βεβαμμένην ἐξ αἱμάτων σου.

Ὠδὴ, γ'. Στεῖρα ψυχὴ καὶ ἄγονε.

Ε Υ ῥοιμίσε βοήθειαν, ἐν ὥρᾳ τῇ φοβερᾷ, τοῦ ἐξωτέρου σκότους με, καὶ τῆς γεέννης ἐφαρπάζουσαν, βρυγμοῦ καὶ τοῦ σκώληκος, καὶ πάσης κολάσεως Κόρη Δέσποινα.

Ρ Υπτήριόν μοι δάκρυον, δίδου σαρκὸς μολυσμῶν, καὶ τοῦ πυρὸς σβεστήριον, καὶ τῶν πταισμάτων μου λυτήριον. ψυχῆς καθαρτήριον, νοὸς φυλακτήριον παῦσον Δέσποινα.

Α Γιον οὖσα Τέμενος, ὡς χωρήσασα Θεὸν, Ὑπεραγία Δέσποινα, σπλαγχνίσθητι ἐφ' ἡμῖν τοῖς δούλοις σου, καὶ ἁγίασον ἡμῶν τὸν νοῦν καὶ διάνοιαν ὅρος ἅγιον.

Γ Ρήγορον δός μοι Δέσποινα, καὶ ἄγρυπνον λογισμὸν, διανεκῶς μέριμναν, τῆς ἐν τῇ Κρίσει ἐξετάσεως, ἐν ᾗ ἀκατάκριτον, τὸν αὐτοκατάκριτον ὄντα δεῖξόν με.

Ὠδὴ, δ'. Ἐκάλυψεν Οὐρανούς.

Η Νίκασε τὸ φρικῶδες Βῆμα Λόγε Θεοῦ, καὶ τὴν δικαίαν ἀπειλὴν, τῆς ἀδεκάστου ψήφου σου προέμβλεπον, ἐν τῷ νοΐ προσλήψωμαι, ὅλος ἐκπλήττομαι καὶ θερμῶς νῦν ... ταῖς τῆς Μητρός σου πρεσβείαις σῶσόν με.

Σ Υνήθεια φυλεττάτη συλλαβοῦσα με, καὶ διαστήματι πολλοῦ παγιωθεῖσα χρόνου, καὶ εἰς ἕξιν τινὰ καὶ φυσικὴν ἐγγύτητα ἤδη, ἐλθοῦσα τυραννικῶς βιάζει με, τῆς τυραννίδος με ταύτης ἐξελοῦ Δέσποινα.

Ε Ν ὥρᾳ μοι καὶ ἡμέρᾳ τῆς ἐτάσεως, ἐσπαραττομένῳ τῶν ἐμῶν, πλημμελημάτων δίκας καὶ εὐθύνας πικρὰς, συναρρωγὸς παράστηθι Κόρη, καὶ ῥῦσαι δικαίως καταδίκης με, καὶ τοῦ πυρὸς τῆς γεέννης ἐξάρπασον.

Ν Εκρώσασα τοῦ Θεοῦ ἡ ἁμαρτία με, καὶ ἀπορρίψαι τὸν αὐτοῦ σωτηριώδη φόβον παρασπείσασα, ἐπιθυμίαν πᾶσαν τελέσαι, καὶ ἄθεσμον ἡδονὴν ἀνάγκασε, διὸ πρὸ δίκης ὑπάρχω αὐτοκατάκριτος.

Ὠδὴ, ε'. Ὡς εἶδεν Ἡσαΐας συμβολικῶς.

Λ Ουτρῷ τῆς μετανοίας, καὶ τῶν δακρύων ὕδασι λουθῆναι θερμοῖς, καὶ ἐκκαθαρθῆναι ψυχή μου σπούδασον. ὡς ἔχεις καιρὸν ἀθλία, τὰς κηλῖδας ἀποσμήξασθαι τὰς σὰς, ἐν κλαυθμῷ καὶ πένθει, καὶ θρήνων ἐπιδόσεσι.

Μετά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Μετάνοιαν γνησίαν, ἐπιστροφὴν ἀξίαν οὐκ ἐνδείκνυμαι, τῶν ἀμπλακημάτων ὧν ἐπλημμέλησα· διό σε ἱκετεύω, ἐπιστρέψαι με πρὸ τέλους ἀγαθὴ, καὶ προκαταλλάξαι τῷ Θεῷ καὶ Δεσπότῃ μου.

Ἐν χρόνῳ τὸν ἀχρόνως ἐκ τοῦ Πατρὸς, πρὸ χρόνων γεννηθέντα Θεὸν, ὑπὲρ νοῦν καὶ λόγον σαρκὶ γεγέννηκας, Παρθένε, καιρῶν καὶ χρόνων, καὶ αἰώνων τὸν σοφὸν δημιουργὸν, λύοντα τῷ λόγῳ τὰ χρόνιά μου πταίσματα.

Ὠδὴ, ϛʹ. Ἐβόησέ σοι.

Παγίδας βρόχους, καὶ τὰς ἐνέδρας, τῶν θηρευόντων δαιμόνων με, ὡς ἀράχνης μίτους, Παναμώμητε Κόρη δεῖξον.

Ῥυθμίζουσά με, καὶ ὁδηγοῦσα, πρὸς θειοτέραν κατάστασιν, συνετίζουσά τε, καὶ φωτίζουσα μὴ ἐλλίπῃς.

Θανάτου μνήμην, ἀνεξαλείπτως, ἐν τῇ ψυχῇ μου καὶ μέριμναν, τῆς ἐξόδου δίδου, δι' αὐτῶν συστέλλουσα ταύτην.

Ἐν Πνεύματί σε, ὁ Ἡσαΐας, τόμον Ἁγνὴ ἐθεάσατο· ἐν σοὶ γὰρ ἐγράφη τῶν βροτῶν ἡ ἐλευθερία.

Κάθισμα. Θείας Πίστεως.

Ποίοις ὄμμασιν ἴδω σε Σῶτερ; πῶς ὀφθήσομαι σοῦ τῷ προσώπῳ; ὁ συγχώσας τὴν εἰκόνα σου πάθεσι, καὶ βεβηλώσας τὸ θεῖόν σου σκήνωμα, καὶ τὸν Ναόν σου μιάνας τὸν ἅγιον. ὅθεν δέομαι, θερμοῖς με καθάρας δάκρυσιν, ἐλέησον πρεσβείαις τῆς Τεκούσης σε.

Ὠδὴ, ζʹ. Σὲ τὸν ἐν πυρὶ δροσίσαντα.

Μόνη παρθενίαν ἄφθορον, καὶ τόκον ἔσχες ἄσπορον, μόνη ὡς πρὸ τοῦ τόκου μετὰ γέννησιν Ἁγνὴ, παρθενεύουσα Μήτηρ, γαλουχοῦσα Παρθένος, ὄντως φρικτὰ καὶ θαυμαστὰ τὰ μεγαλεῖά σου.

Ῥέουσι κρουνοὶ χρηστότητος ἐκ σοῦ Θεοχαρίτωτε· τὴν πηγὴν τῶν ἀγαθῶν γὰρ ἐκύησας, ἐξ ἧς βλύζουσι Κόσμῳ τῆς ἀφέσεως ῥεῖθρα, καὶ συμπαθείας ὀχετοὶ ἀφθόνως ῥέουσιν.

Ἔμφοβος ὁμοῦ καὶ ἔντρομος γίνομαι, ἐνθυμούμενος τὴν ἡμέραν, καὶ τὴν ὥραν τῆς ἐτάσεως, βοηθὸς καὶ προστάτις, ἀντιλήπτωρ καὶ ῥύστις γενοῦ μοι τότε ἀγαθὴ, τῷ ἀχρείῳ δούλῳ σου.

Νὺξ ἁμαρτιῶν συνέχει με, νέφος παθῶν καλύπτει με, καὶ ζοφώδης ἐγκλημάτων κυκλοῖ θύελλα, καὶ βαθύτατος γνόφος ἀπογνώσεως κρύπτει, τῆς μετανοίας φωτὶ λάμπρυνον Δέσποινα.

Ὠδὴ, ηʹ. Ἀσέκτῳ πυρὶ ἑνωθέντες.

Σοῦ ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ ἐν γῇ στάζουσα κατέβη, ἐν νηδύϊ ὁ θεῖος ὄμβρος. ὄμβροις οὖν δακρύων με, ἐν ἡμέρᾳ Κόρη καὶ νυκτὶ ἀξίωσον λούειν τε, καὶ βρέχειν τὴν κλίνην τῆς στρωμνῆς μου.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Η'Γγικεν ἰδοὺ πλησιάζει ἡ τῶν Οὐρανῶν ἡτοιμασμένη Βασιλεία, τοῖς δικαίοις πρὸ τοῦ αἰῶνος ψυχὴ μετανόησον, ὅπως φύγῃς κόλασιν ἀποκειμένην σοι, καὶ τῆς ἀπεράντου μετάσχῃς Βασιλείας.

Λυχνία φωτὸς τοῦ ἀΰλου, πάγχρυσε παστὰς, ἠγλαϊσμένη θεία κλίνη, καὶ πυρίμορφε θρόνε δόξης, ἔμψυχον παλάτιον, καὶ ταμεῖον πλῆρες πάσης καθαρότητος, καὶ ἁγιωσύνης, ἁγίασον τὸν νοῦν μου.

Ε'Πλήσθη κακῶν ἡ ψυχή μου, ἤγγισε τῷ ᾅδῃ ἡ ζωή μου ἐλογίσθην, ὡσεὶ ἄνθρωπος τοῖς ἐχθροῖς μου μόνος ἀβοήθητος, ἀλλὰ δεῖξον, Κόσμου κραταιὰ ἀντίληψις, ὡς ἀβοηθήτων βοήθεια ὑπάρχεις.

Ὠδὴ, θ'. Ἐν νόμῳ σκιᾷ καὶ γράμματι.

Ο'Νειρος δίκην ἐξέλιπον, ἀτμίδος καὶ καπνοῦ καὶ σκιᾶς, αἱ πᾶσαι μου ἡμέραι, καὶ τὰ ἔτη μου μετὰ σπουδῆς. καὶ ἡ ἀξίνη πρὸς ῥίζαν τοῦ δένδρου κεῖται λοιπὸν, καὶ ἑτοιμάζει τὴν τομὴν ὁ θερίζων πάντας θάνατος.

Χωρίον χαρᾶς εὐρύχωρον, ἐν τόπῳ με σκηνῆς θαυμαστῆς, γλυκὺς ἑορταζόντων, ὅπου ἐστὶν ἦχος ἐν φωνῇ, ἀγαλλιάσεώς τε καὶ ἐξομολογήσεως, ἕως τοῦ οἴκου τοῦ Θεοῦ παναμώμητε εἰσάγαγε.

Στενάζων καὶ ὀδυρόμενος, Κόρη προσπίπτω σοι, ἐν κλαυθμῷ ἐλέησον καὶ σῶσον τὴν ψυχήν μου τὴν ἐλεεινὴν, τὸν θελητὴν τοῦ ἐλέους Θεὸν ἡ τέξασα, καὶ ἐν ἡμέρᾳ τῆς δίκης, καταδίκης πάσης ῥῦσαί με.

Α'Νθ' ὧν μετ' ἐμοῦ ἐποίησας, μύρια ἀγαθὰ ἀγαθὴ, ἐν πάσῃ τῇ ζωῇ μου εὐλογήσω σε, καὶ ἐν παντὶ καιρῷ δοξάσω τὴν δόξαν σου, καὶ διὰ παντὸς ἔσται ἡ αἴνεσις ἡ σὴ, ἐν τῷ στόματί μου Δέσποινα.

Στιχηρά. Μεγάλη τοῦ Σταυροῦ σου.

Μ'Εγάλης διὰ σοῦ εὐεργεσίας Ἄχραντε, τυχόντες σὺν Ἀγγέλοις, τὸν τόκον σου γεραίρομεν, τὸν καταξιώσαντα ἡμῖν ὁμοιωθῆναι, δι' ἄκραν εὐσπλαγχνίαν, καὶ ἀναπλάσαντα τὴν ἡμετέραν φύσιν.

Ε'Ν κλίνῃ κατακείμενος τῆς ἀμελείας μου, τὸν τῆς ζωῆς μου χρόνον, ῥαθύμως ἐξετέλεσα, καὶ πτοοῦμαι τῆς ἐξόδου μου τὴν ὥραν, ἀλλὰ τῇ σῇ πρεσβείᾳ, ἔγειρον σῶσόν με πρὸς μετάνοιαν Κόρη.

Α'Πόθου ταπεινὴ ψυχή μου τὰ δυσβάστακτα, φορτία τῆς κακίας, καὶ πρόσελθε δακρύουσα, καὶ βοῶσα τὸν ζυγὸν Παρθένε, τὸν ἐλαφρὸν βαστάζειν με, Χριστοῦ ἀξίωσον, τοῦ Υἱοῦ καὶ Θεοῦ σου.

ΤΟ' ἄλγος τῆς καρδίας μου Σεμνὴ θεράπευσον, καὶ στῆσον τοῦ νοός μου, τὴν πλάνην καὶ ἀξίωσον, καθαρᾷ σε ὑμνεῖν ἐν καρδίᾳ, καὶ ἐξαιτεῖσθαι χάριν, εὑρεῖν καὶ ἔλεος, ἐν ἡμέρᾳ τῆς δίκης.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂ ΤΕΤΑΡΤΗ, ΕΣΠΕΡΑΣ,

## ΚΑΝΩ͂Ν ΕΙΣ ΤΗ͂Ν

# ΠΟΛΥΫΜΝΗΤΟΝ ΘΕΟΤΟΚΟΝ.

### Ὠδὴ, ά. ἦχος, γ΄. Ὁ τὰ ὕδατα πάλαι.

Η῾ Θεὸν καὶ Δεσπότην, πάντων αἰώνων τεκοῦσα, ἀπειρογάμως Παρθένε, τῶν παθῶν ῥῦσαι με, τῆς δεσποτείας Ἁγνή. ὅπως εὐχαρίστως σε ἀξιοχρέως δοξάζω, τὴν ἀειμακάριστον καὶ μεγαλύνωσε.

Ἡ Σωτήριος πύλη, τοῦ Βασιλέως τῆς δόξης, Θεοκυῆτορ Παρθένε, πρὸς ζωῆς πάναγνε πύλην εἰσάγαγε, σοῦ ταῖς παρακλήσεσι, τοὺς εἰσιόντας ἐν πύλαις τοῦ Ναοῦ σου Δέσποινα, καὶ σὲ γεραίροντας.

Συμπαθὴς Θεοτόκε, τῶν Ἀποστόλων τὸ κλέος, καὶ Ἀθλοφόρων ἡ δόξα, καὶ Πιστῶν στήριγμα, στήριξον δέομαι τὸν παρεξεπόμενον ταῖς ἐπηρείαις τοῦ πλάνου, νοῦν με καὶ σκοτούμενον ταῖς παραβάσεσιν.

Ἡ Πρὸ πάντων αἰώνων, προορισθεῖσα γενέσθαι τῆς εὐσπλαγχνίας Μητέρα, σύ με ἀξίωσον θείου ἐλέους τυχεῖν, ὅπως μέλπω πάντοτε ὁ σὸς ἀχρεῖος οἰκέτης, εὐφροσύνως Πάναγνε τὰ μεγαλεῖά σου.

### Ὠδὴ, γ΄. Ὁ ἐκ μὴ ὄντων τὰ πάντα.

Σὲ προστασίαν, καὶ τεῖχος ἁμαρτωλοὶ, σωτήριον ἔχομεν Θεοτόκε Πανύμνητε, μὴ παρίδῃς Δέσποινα· μὴ καταισχύνῃς ἡμῶν τὰς ἱκεσίας.

Δακρύων ὄμβρους παράσχου μοι ἀγαθὴ, καὶ τούτοις κατάσβεσον, τῶν παθῶν μου τὴν κάμινον, καὶ πάσας ἀπόπλυνον τὰς ψυχικάς μου κηλῖδας Θεοτόκε.

Ἐν ἀνομίαις τὸ εὐγενὲς τῆς ψυχῆς, ἐμόλυνα Πάναγνε, καὶ φρίττω τὴν ἐξέτασιν, ὅτε ἀπαιτήσῃ με τὸ τῆς εἰκόνος ἀξίωμα ὁ Λόγος.

Ταῖς τοῦ Τελώνου φωναῖς ὁ τάλας ἐγὼ, χρώμενος κραυγάζω σοι, ἱλάσθητί μοι Δέσποινα, καὶ πταισμάτων τὴν ἄφεσιν, τῇ σῇ πρεσβείᾳ παράσχου τῷ σῷ δούλῳ.

### Ὠδὴ, δ΄. Ἔθου πρὸς ἡμᾶς.

Ἤλθοσαν Ἁγνὴ, τῶν ἀτόπων πράξεων ὕδατα ἕως τῆς ἀθλίας μου ψυχῆς, καὶ τῶν παθῶν ἰλύϊ κρατούμενος, βοῶ ὀδυνώμενος, μή με παρίδῃς Δέσποινα τὸν δοῦλόν σου.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Θῆρες νοητοὶ, νῦν ἀνηλεῶς με κυκλώσαντες, σπεύδουσιν ἁρπάσαι ἀφειδῶς τὴν ταπεινὴν ψυχήν μου Πανάμωμε, ἀλλὰ τούτων σύντριψον, τὰς ψυχοφθόρους μύλας παντοδύναμε.

Ἵλεως γενοῦ, τοῖς σοῖς δούλοις, Κόρη δεόμεθα, καὶ προσδοκωμένης ἀπειλῆς τὸν σὸν Λαὸν ἐκλύτρωσαι τάχιον, ἵνα σοι κραυγάζωμεν εὐχαριστοῦντες, δόξα σοι Παντάνασσα.

Τράπεζα χρυσῆ, ἡ τὸν θεῖον Ἄρτον βαστάσασα, ἔμπλησον πεινῶντά με τροφῆς σωτηριώδους καὶ χειμαζόμενον, καὶ καταφθειρόμενον ἐπιμελείας Κόρη με ἀξίωσον.

Ὠδὴ, έ. Ἐπὶ τῆς γῆς ὁ ἀόρατος ὤφθη.

Λύτρον ἡμῖν, γεγονὼς ὁ Υἱός σου, πάσης φθορᾶς ἐρρύσατο Παρθένε. διό με λύτρωσαι σαρκικοῦ φρονήματος, καὶ παθῶν ἐπαναστάσεως.

Δαιμονικαῖς ἐπηρείαις τὸν νοῦν μου, δεινῶς εἰς ἀτόπους ἐννοίας ὑπεξελκόμενον, μὴ ἐάσῃς Δέσποινα, ἀλλὰ στῆσον ἀπερίτρεπτον.

Ἁμαρτωλοῖς καὶ τελώναις ἐφάνη, ὁ σὸς Υἱὸς διὰ σπλάγχνα ἐλέους· ὃν μιμουμένη Ἁγνὴ, νῦν ἐμὲ οἰκτείρησον ὑπὲρ πάντας ἁμαρτήσαντα.

Κύνες πολλοὶ, περιέχουν με ὄντως, συναγωγὴ πονηρῶν με πνευμάτων περιεκύκλωσαν, ἀλλὰ τούτων Ἄχραντε τὰς ἐνέδρας διασκέδασον.

Ὠδὴ, ς΄. Ἄβυσσος ἔσχατη ἁμαρτιῶν.

Κύμασι τοῦ βίου φρενοβλαβῶς, ἐγὼ ὁ τάλας συνεχῶς βυθιζόμενος, καὶ ταῖς αὔραις πάντοτε τοῦ ἐχθροῦ ῥιπιζόμενος, νῦν κραυγάζω σοι· Θεοτόκε βοήθει μοι.

Ῥεῖθρα μοι δακρύων πνευματικῶν, παράσχου Κόρη ἵνα πλύνω τὸν βόρβορον, τῶν πλημμελημάτων μου· καὶ πρὸς τὸ ὕδωρ ἴθυνον, τῆς ἀνέσεως, ἐν ἡμέρᾳ τῆς κρίσεως.

Ὕπνωσα εἰς θάνατον ψυχικὸν, καὶ ἐν τῷ τάφῳ κεῖμαι τῆς ἀπογνώσεως, ἀλλὰ δίδου χεῖρά μοι, καὶ ἀνάστησον δέομαι πρὸς μετάνοιαν καὶ ζωὴν ὁδηγοῦσά με.

Νάουσιν ἀείρρυτοι ποταμοὶ, οἱ τῶν θαυμάτων ἐκ σοῦ Θεοχαρίτωτε, καὶ γῆς τὸ πρόσωπον ἁπάσης καταρδεύουσι, καὶ πιαίνουσι νοητῶς τὰς ψυχὰς ἡμῶν.

Κάθισμα. Τὴν ὡραιότητα.

Αἱ ἀνομίαι μου ψάμμον θαλάσσιον, ὑπερνικήσασαι τὴν ταπεινήν μου ψυχὴν, κατακαλύπτουσιν Ἁγνὴ τῷ πλήθει τῶν οἰκτιρμῶν σου, πάντα μου τὰ πταίσματα, διὰ τάχους ἐξάλειψον, καὶ τῆς κατεχούσης με, ἀθυμίας ἀπάλλαξον, καὶ πάσης χαρᾶς καὶ εὐφροσύνης, πλήρωσον Κόρη τὴν καρδίαν μου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ ζʹ. Τῇ πρὶν εἰκόνι.

Θανάτου ὥραν δεδοικώς, διὰ τὴν ἀθάνατον καὶ αἰωνίαν κόλασιν, σοὶ προσπίπτω· διάσωσόν με τότε, ἐκ παγίδος θηρευτῶν Θεογεννῆτορ.

Ἡ τὸν ἀχώρητον Θεόν, ἐν γαστρὶ χωρήσασα, πολλαῖς στενοχωρούμενον πλημμελείαις τὸν νοῦν μου Θεοτόκε, ἐλευθέρωσον τῆς τούτου τυραννίδος.

Τὸ κατ' εἰκόνα σου Χριστέ, ὁ δεινὸς ἐμόλυνα, ταῖς ἀτόποις πράξεσι, τῆς σὲ τεκούσης πρεσβείαις σύ μοι δίδου, δάκρυον καθαρτικὸν τῶν ἐγκλημάτων.

Ἐπὶ τοῦ Βήματος Χριστοῦ, ὅταν μέλλω κρίνεσθαι, ὡς ὑπεύθυνος Ἄχραντε, φάνηθί μοι ἐκ πάσης με βασάνου, ῥυομένη τῇ θερμῇ σου προστασίᾳ.

Ὠδὴ ηʹ. Ἀσέκτῳ πυρί.

Ζήσας τὸν ἄσωτον ὄντως, πάντα μου τὸν βίον ἀναλώσας ἁμαρτίαις, νῦν κραυγάζω· ἡμάρτηκά σοι, ποίησον ὡς ἕνα με τῶν μισθίων, Κόρη τοῦ Υἱοῦ καὶ κτίστου σου, ἵνα σὲ δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Ὅτε τοῦ Θεοῦ τῇ προστάξει, μέλλει ἡ ψυχή μου ἐκ τοῦ βίου ἐκδημῆσαι, τῆς παγίδος τῶν θηρευόντων, ἐξάρπασον Ἄχραντε σοὶ βοῶσαν, πάντα τὰ ἔργα ὑμνοῦμέν σε, καὶ μακαρίζομεν εἰς πάντας τοὺς αἰῶνας.

Ὑπνώσας εἰς θάνατον κεῖμαι, τάφῳ ἀπογνώσεως Παρθένε, ἀλλὰ σύ με ἐξανάστησον, καὶ ἀγρύπνως μέλπειν καταξίωσον, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Δέσποινα Ἁγνὴ Θεοτόκε, ῥῦσαί με φθορᾶς ἁμαρτημάτων καὶ δαιμόνων, ἐπηρείας καὶ κακουργίας· παῦσον καὶ τὸν τάραχον τῶν παθῶν, καὶ τῶν ἡδονῶν κατάσβεσον τὴν ἄσεκτον φλόγα, τῆς χάριτός σου δρόσῳ.

Ὠδὴ θʹ. Ἐν νόμῳ σκιᾷ καὶ γράμματι.

Ἐγγίζει ψυχὴ τὸ τέλος, ἐπὶ θύραις τὸ Κριτήριον, ἀπόστηθι τῶν ἔργων τῆς αἰσχύνης, καὶ ἐπιλαβοῦ τῆς ἀγαθῆς πολιτείας, ἔχεις γὰρ σύμμαχον, τὴν Θεοτόκον ἐκ πάσης ῥυομένην σε κακώσεως.

Σὺ τὸ ἀσθενὲς ἐπίστασαι τοῦ ταπεινοῦ μου σώματος Πανάμωμε Μαρία, τῆς καρδίας μου τὸν στεναγμόν, καὶ τοῦ νοός μου τὴν πλάνην καὶ τὰ ἰνδάλματα, διὸ τῇ σῇ συμπαθείᾳ, ἑκατέροις δὸς διόρθωσιν.

Τοὺς νόμους τοὺς σοὺς ἠθέτησα, καὶ τὰς σωτηρίους ἐντολάς, παρέβην σου οἰκτίρμον, καὶ πτοοῦμαί σου τὸ φοβερὸν Βῆμα, ἐν ᾧπερ καθίσας κρινεῖς τὰ σύμπαντα, διὸ βοῶ δωρεάν με, σῶσον Λόγε, τῆς Μητρός δεήσεσι.

Γένος τῶν βροτῶν Πανάμωμε, τὴν σὴν ἀκαταμάχητον πλουτήσαντες πρεσβείαν, βοῶμεν ἡμέρας καὶ νυκτός, μὴ διαλίπῃς ἀπαύστως καθικετεύουσα, τὸν ποιητήν σου καὶ Υἱόν, οἰκτειρῆσαι τοὺς ὑμνοῦντάς σε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Στιχηρά. Μεγάλη τοῦ Σταυροῦ σου.

ΤΟὺς πάντας ὑπερέβην Δέσποινα τοῖς πταίσμασιν. ἀλλὰ τὰ πλήθη τούτων, λιταῖς σου ἐξαλείψασα, καταξίωσον τυχεῖν με συμπαθείας, ἐν τῇ μελλούσῃ Κρίσει, φρικτῆς ἐλεύσεως τοῦ Υἱοῦ καὶ Θεοῦ σου.

ΤΟ οὖς σου κλῖνον πρός με Δέσποινα καὶ σῶσόν με, ὅτι πτωχὸς καὶ πένης, ὑπάρχω ὁ ταλαίπωρος, διὸ πάσης ἐξελοῦ με, ἐπηρείας τῶν πονηρῶν δαιμόνων, καὶ σῶσον δέομαι τὴν ἀθλίαν ψυχήν μου.

ΤΑῖς αὔραις τοῦ ἐχθροῦ, ὡς κάλαμος ῥιπίζομαι, διηνεκῶς Παρθένε, ἀλλ᾽ οἴκτειρον τὸν δοῦλόν σου, καὶ ταῖς τούτου καταιγίσι μὴ εἰς τέλος, ἐάσῃς με κλονεῖσθαι, ἀλλὰ στερέωσον ἐν τῇ πίστει Κυρία.

ΠΑρθένε τὸν ἐκ σοῦ τεχθέντα καθικέτευε, τὴν ποίμνην σου φυλάττειν, ἀλώβητον ἐκ πάσης, ἐπηρείας τοῦ ἀντικειμένου διαβόλου, καὶ ἐκπληροῦν ἅπαντας, αὐτοῦ τὸ θέλημα ἐνδυνάμωσον Κόρη.

## ΤΗ ΠΕΜΠΤΗ ΕΣΠΕΡΑΣ,

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ

## ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

Ὠδὴ, α'. ἦχος, γ'. Χέρσον ἀβυσσοτόκον.

ΣΚήνωμα θείας δόξης ὄρος ἅγιον, καὶ νεφέλη φωτεινὴ, Οὐρανῶν ὑψηλοτέρα, ἁγίων Ἀγγέλων ὑπερτέρα, τιμιωτέρα Δέσποινα, πάντων τῶν ποιημάτων ἐλέησον καὶ σῶσόν με.

ΤΕμένος τοῦ Δεσπότου ὄρος ἅγιον, καὶ σκηνὴ ὑπερνεφὴς, ἡ νεᾶνις καὶ Παρθένος, ἡ καλὴ καὶ ὡραία, ἡ μόνη εὐλογημένη, ἡ καλλονὴ τοῦ Ἰακὼβ, ἄφθορε Θεοῦ Μῆτερ, ἐλέησόν με Δέσποινα.

ΣΎνθημα σωτηρίας πυρσὸς ἄδυτος, καὶ ἀχείμαστος λιμὴν, ἐν πελάγει τῷ τοῦ βίου, θαλαττεύοντι Κόρη γενοῦ μοι, πνευμάτων καταιγίδα, παθῶν κυμάτων κλύδωνα λύουσα, καὶ τὸ σκάφος τῆς ψυχῆς περισώζουσα.

ῬΕύσασαν τὴν βροτείαν φύσιν ἄνωθεν, τῆς ἀμείνονος ζωῆς, καὶ χωρίου χλοηφόρου, ζωηροῦ Παραδείσου, ἀτίμως ἐκβληθεῖσαν Κόρη, καὶ ἐκπεσοῦσαν δόξης Θεοῦ, μείζονα ἐπὶ δόξαν, ἀνήγαγες Πανύμνητε.

Ὠδὴ,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεώ

Ὠδὴ, γ'. Τὸ στερέωμα.

ΕΥλογημένη σε, δι' ἧς ἡ πρώτη κατάρα, ἐλύθη καὶ ἤνθησεν ἡ εὐλογία. ἡ ἐπάρατός τε φύσις ηὐλόγηται.

ΣΥ μου πρόστηθι, ἐν τῇ ἡμέρᾳ τῆς δίκης. καὶ ῥῦσαί με Δέσποινα τῆς καταδίκης. σύ μοι καὶ ψυχορραγοῦντι παράστηθι.

ΜΕγαλύνομεν τὸν μεγαλεῖα πολλά σοι, ποιήσαντα Δέσποινα. καθὼς προέφης. σὲ τὴν παμμακάριστον μακαρίζοντες.

ΧΑῖρε πάμφωτε καὶ χρυσαυγέστατε θρόνε, τοῦ πάντων δεσπόζοντος Θεοῦ τοῦ Λόγου. χαῖρε Κόρη Ἀποστόλων τὸ κήρυγμα.

Ὠδὴ, δ'. Ἐκάλυψεν Οὐρανούς.

ΤΟ Χαῖρέ σοι Γαβριὴλ ἐν Ναζαρὲτ ἐπιστάς, χαίρων ἐκόμισε σαφῶς, τῇ καθαρᾷ καὶ Παναμώμῳ. διὸ σὺν τούτῳ ἀναβοῶμεν καὶ ἡμεῖς οἱ ἀχρεῖοι δοῦλοί σου. χαῖρε πανθαύμαστε Κόρη καὶ πολυύμνητε.

ΩΣ ἔσωσας Μανασσῆν μετανοήσαντα πρίν, κἀμὲ τὸν πταίσαντα πολλά, καὶ παραβλέψαντα τὰς σὰς ἐντολάς, μετανοοῦντα πρόσδεξαι Σῶτερ, ταῖς μητρικαῖς σου παρακλήσεσι, καὶ τῶν κολάσεων ῥῦσαι ὡς μόνος εὔσπλαγχνος.

ΕΛέησον τοῦ ἐλέους πηγὴ Δέσποινα, ἡ ἐλεήμων ἀληθῶς, καὶ συμπαθὴς κυρίως καὶ φιλάγαθος, ἐλεεινὴν ψυχὴν νηχομένην πελάγει τῷ τῆς ἀπογνώσεως, καὶ ἐπὶ σοὶ τὰς ἐλπίδας μόνη κατέχουσαν.

ΖΕνώσασα τοῦ Θεοῦ ἡ ἁμαρτία με, καὶ ἀπορρίψαι τὸν αὐτοῦ ἀπὸ καρδίας φόβον παραπείσασα, ἐπιθυμίαν πᾶσαν τελέσαι, καὶ ἄθεσμον ἡδονὴν ἠνάγκασε, διὸ πρὸ δίκης ὑπάρχω αὐτοκατάδικος.

Ὠδὴ, ε'. Ὡς εἶδεν Ἡσαΐας.

ΥΠέκκαυμα γεέννης καὶ τοῦ πυρὸς ἐκείνου παρανάλωμα τοῦ μὴ σβεννυμένου, μὴ δείξῃς Δέσποινα, μηδέ με σκωλήκων σμῆνος, ἰοβόλον ὑποδέξηται βοράν, μὴ βρυγμὸς ὀδόντων, μὴ τάρταρος συλλάβῃ με.

ΑΓία τῶν Ἁγίων ὑπάρχουσα, Ἄχραντε Θεοτόκε Ἁγνή, τὸν ἐν τοῖς Ἁγίοις ἀναπαυόμενον, ἁγίως Ἅγιον Λόγον, ἀπεγέννησας δωρούμενον ἡμῖν, φωτισμὸν καὶ χάριν, ἁγιασμὸν καὶ λύτρωσιν.

ΑΞίως σε γεραίρειν, οὐδὲ Ἀγγέλων γλῶσσαι ἐξισχύουσι. ποῖον γὰρ ἐγκώμιον σοὶ κατάλληλον, Παρθένε τῇ γεννησάσῃ τὸν Ἀγγέλων καὶ ἀνθρώπων ποιητήν; ὅθεν τοὺς ἐν πίστει τιμῶντάς σε ἐλέησον.

ΥΠέραγνε Μαρία, τὸ τῆς ἐμῆς καρδίας ἀγαλλίαμα, καὶ ἡ θυμηδία καὶ ἡ παράκλησις, ἐν ὥρᾳ τῆς ἐκδημίας, παραστάτις καὶ προστάτις μου γενοῦ, ὁδὸν εἰς εὐθεῖαν τὴν ψυχήν μου ὁδηγοῦσα.

Ὠδὴ,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ωδή, ς'. Εβόησέ σοι.

Η Θεία Κλίμαξ, Παρθένε χαῖρε. δι' ἧς κατέβη ὁ Ὕψιστος, τοὺς βροτοὺς ἀνάγων, πρὸς ἀνώλεθρον εὐφροσύνην.

Υπὸ παντοίων κολαστηρίων ἐξάρπασόν με τὸν δοῦλόν σου, ἐκ βρυγμοῦ ὀδόντων, ποταμοῦ πυρὸς καὶ γεέννης.

Χριστὲ Σωτήρ μου, πηγὰς δακρύων, τῷ σῷ ἐλέει παράσχου μοι, ὅπως μου τὰ πλήθη τῶν ἀμπλακημάτων θρηνήσω.

Το ὄρος χαῖρε. ἐξ οὗ ὁ λίθος, ἐναπετμήθη τῆς χάριτος. ὁ συντρίψας πάντα τὰ ἰνδάλματα τῆς ἀπάτης.

Κοντάκιον. Τὴν ὡραιότητα.

Σύλληψιν ἄσπορον, καὶ τόκον ἄφθορον, σὺ μόνη ἔσχηκας, ὡς ὑπερέχουσα, φύσεως πάσης λογικῆς, φανεῖσα τιμιωτέρα. ἀΰλων Δυνάμεων, Σεραφὶμ ὑπερφέρουσα. ὄχημα πυρίμορφον, Χερουβὶμ ἁγιώτερον. διὸ ὡς τοῦ Κυρίου μου Μήτηρ, σῶσόν με Κόρη παντοδύναμε.

Ωδή, ζ'. Σὲ τὸν ἐν πυρὶ δροσίσαντα.

Ανανδρον Μητέρα πάντες σε, Θεόνυμφε γινώσκομεν. καὶ Παρθένον βρεφοτόκον ὀνομάζομεν. ἐπὶ σοὶ γὰρ ἀῤῥήτως, παρθενία καὶ τόκος. τὰ διεστῶτα φυσικῶς, εἰς ἓν συνέδραμον.

Καιρῶν καὶ χρόνων τὸν αἴτιον, Θεὸν τὸν προαιώνιον, ἡ τεκοῦσα Θεοτόκε μοι παράστηθι, ἐν καιρῷ τῆς ἐξόδου συμμαχία ὀξεῖα, καὶ ἀκαταίσχυντος ἐλπίς, καὶ κραταιὰ προσφυγή.

Οντως ἐπὶ σοὶ τῆς φύσεως οἱ νόμοι καταλέλυνται. τὸν Δεσπότην γὰρ τῆς Κτίσεως συνέλαβες ὑπὲρ φύσιν Παρθένε. διὰ σπλάγχνα ἐλέους αὐτοῦ σπορᾶς ὑπερφυῶς ἐκ σοῦ γενόμενον.

Σῶσόν με ἁγία Δέσποινα. σῶσόν με προστασία μου. ἵνα πάντες αἰσχυνθῶσιν οἱ μισοῦντές με. καὶ καυχήσωνται πάντες σοὶ Θεοτόκε, οἱ ἀγαπῶντες τὸ θεῖόν σου ὄνομα.

Ωδή, η'. Ἀσέκτῳ πυρί.

Ου χεῖρας καὶ ὄμματα μόνον, ἀλλὰ καὶ τὸν νοῦν καὶ τὴν ψυχὴν καὶ τὴν καρδίαν, ἀνατείνω πρὸς σὲ Παρθένε. ὅλον με καταύγασον τῷ φωτί σου, ὅλον ἀπόπλυνον δάκρυσιν. ὅλον κατανύξει θερμῇ ἀπόλουσόν με.

Μένει με δεινὴ καταδίκη. μέλλω κατακρίνεσθαι ἐνώπιον Ἀγγέλων, καὶ θεάτρου μυριανθρώπου. μεγάλης ἀνάγκης με ῥῦσαι τότε. μέγα καὶ πλούσιον ἔλεος, ἔχεις γὰρ τεκοῦσα τὸν μέγαν Βασιλέα.

Χριστοῦ καθαρώτατον τόμον, καὶ ἐσφραγισμένην καὶ θεόγραφόν σε Βίβλον, ἐπισάμενος ἱκετεύω, Βίβλῳ καταγράψαι με σωζομένων, Κόρη καὶ τὰ τῶν πταισμάτων μου ῥῆξαι γραμματεῖα τῇ λόγχῃ τοῦ Υἱοῦ σου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΠΥρὸς τȣ͂ ἀσβέςȣ με ῥῦσαι, ἡ συνειληφυῖα πῦρ τὸ ἄϋλον Παρθένε, κ̀ πυρὶ τῷ τȣ͂ θείȣ φόβȣ, ὅλον ἀποκάθαρον, τῆς ψυχῆς μȣ ἔνδον τὸ πῦρ ὑπανάπτȣσα, ὃ βαλεῖν ἐν Κόσμῳ κατῆλθεν ὁ Υἱός σȣ.

Ὠδὴ, θ'. Ἐν νόμῳ σκιᾷ κ̀ γράμματι.

Ο'Δόντων βρυγμȣ͂ με λύτρωσαι, κ̀ ἰοβόλȣ σκώληκος, ταρτάρȣ πικροπάτȣ, ἐξωτέρȣ σκότȣς κ̀ πυρὸς, κ̀ τῆ λοιπῶν αἰωνύμων, πασῶν κολάσεων, Θεογεννήτρια Κόρη προσφυγόντα τῷ ἐλέει σȣ.

Ι'Σχύς μȣ ἐλπὶς κ̀ ὕμνησις, κράτος κ̀ σωτηεία μȣ, Παρθένε Θεοτόκε, ὁρατῶν με λύτρωσαι ἐχθρῶν, κ̀ δυσμενῶν ἀοράτων, ἐπιζητȣ́ντων με θηριωδῶς διαρπάσαι, κ̀ εἰς τέλος ἀπολέσαι με.

ΥΙ'ὸν τȣ͂ Θεȣ͂ γεννήσασα, κ̀ πάντων ἔσα Δέσποινα, Παρθένε Παναγία, τὴν ἐμὴν ἐλέησον ψυχὴν, κ̀ ἐν ἡμέρᾳ τῆς δίκης, καταδίκης ῥῦσαί με, κ̀ μὴ ἐάσῃς βασάνοις τῆς γεέννης ὑπαχθῆναί με.

ΝΑὸς τȣ͂ Θεȣ͂ κ̀ ἔμψυχον παλάτιον ἐδείχθης Α'γνή. διόσοι κ̀ τὸ Χαῖρε χαρμοσύνως πάντες οἱ Πιςοὶ, σὺν τῷ Α'γγέλῳ ἐκβοῶμεν. χαῖρε ἀμίαντε. χαῖρε ἡ μόνη τὴν ζωὴν προξενήσασα Θεόνυμφε.

Προσόμοια. Σταυροφανῶς.

Η'Τȣ͂ Φωτὸς, τȣ͂ ἀδύτȣ Νεφέλη Θεοχαρίτωτε Κόρη, εὐλογημένη Μαρία, λάμψον μοι φῶς μετανοίας, ἐν σκότει τῆς ἁμαρτίας ἀφρόνως συνεχομένῳ, κ̀ ῥῦσαι ταῖς δεήσεσι ταῖς σαῖς, πυρὸς γεέννης κ̀ σκότȣς ἀφεγγȣ͂ς, κ̀ ἡμέρας δεῖξον τῆς ἀνεσπέρȣ με κοινωνὸν, προσφυγόντα τῇ σκέπῃ σȣ Πανάχραντε.

ΤΟ'ν θελητὴν τȣ͂ ἐλέȣς τεκȣ͂σα, παντελεῆμον Παρθένε, αὐτὸν ἐκδυσώπει, τὴν ταπεινὴν ἐλεῆσαι ψυχήν μȣ, τὴν εἰς βυθὸν ἀπωλείας κατολισθήσασαν, ἐκ τῆς ἐπηρείας τȣ͂ ἐχθρȣ͂, μὴ ὡς βδελύξῃ τὴν δέησίν μȣ, μηδὲ ἀποςρέψῃς ἀπὸ τȣ͂ δȣ́λȣ σȣ, τȣ̀ς ἀμέτρȣς Κόρη οἰκτιρμȣ́ς σȣ δι' οἶκτον ἀμέτρητον.

Δευτέρωσον τὸ ά. ἢ τὸ γ'.

Ο' Ἐν Ἐδὲμ τὸν Α'δὰμ ἀπατήσας, ἵνα Θεȣ͂ παραβαίνεσῃ, ȣ̂τος κ̀μὲ δελεάσας, ἐκ τῆς ὁδȣ͂ τῆς εὐθείας ἐκκλίνας εἰς ἀνοδίας ἔρριψε, βόθρον πολλῶν ἁμαρτιῶν, κ̀ κομπάζει ὁ δεινὸς, καταπτωθέντα ἰδών με. πρεσβειῶν σȣ ξίφει, τȣ͂τον ὡς πάταξον Παρθένε, κ̀ ῥῦσαι τῆ αὐτȣ͂ με παγίδων ὡς εὔσπλαγχνος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂ ΚΥΡΙΑΚΗ͂

## ἙΣΠΕ΄ΡΑΣ, ΚΑΝΩ͂Ν

## ΕἸΣ ΤΗ͂Ν

## ὙΠΕΡΑΓΙ΄ΑΝ ΘΕΟΤΟ΄ΚΟΝ.

### Ἦχος, Δ΄.

Ὠδὴ, α΄. Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

ΔΑΚΡΥ΄ΩΝ ἐπιῤῥοὰς παράσχου μοι, Θεογεννήτρια, δι' ὧν δακρύων πεῖραν ἐν πυρὶ, τῆς γεέννης ἐκφεύξομαι. Σὺ γὰρ Ἁγνὴ πᾶν δάκρυον ἀπὸ προσώπου τῆς γῆς ἔπαυσας.

ἈΦθάρτου καὶ ζωηροῦ χωρίου με, πολίτην τέθεικεν, ὁ πλαστουργός μου ἄρχειν κατ' ἀρχὰς, τῶν ἐν γῇ πάντων τάξας με· ἀλλ' ὁ ἐχθρὸς φθονήσας μοι, πόθῳ θεώσεως κατέβαλε.

ΚΡατῆρα θανατηφόρον πάλαι μοι, Εὔα κεκέρακε. σὺ δὲ Ἁγνὴ τεκοῦσα τῆς ζωῆς, βότρυν γλεῦκος μοι ἔβλυσας, ἀθανασίας οἶνον τε, Πιστῶν καρδίας τὸν εὐφραίνοντα.

ὙΠέρτερον Οὐρανοῦ σε σκήνωμα, καὶ γῆς πλατύτερον, ὁ Οὐρανοῦ καὶ γῆς δημιουργὸς Θεοτόκε εἰργάσατο, καὶ λογικὸν καὶ ἔμψυχον, ἐν γῇ Παράδεισον ἀνέδειξε.

Ὠδὴ, γ΄. Τόξον δυνατῶν.

ἼΔε τὴν ἐμὴν ἀσθένειαν, ἴδε μου τὴν θλῖψιν, Μῆτερ Θεοῦ καὶ ἐξάλειψον, τὰς ἀπείρους μου ἁμαρτίας, καὶ τὰ χρέη μου διάλυσον.

ὝΜνος Θεοτόκε ἄξιος, οὐδεὶς ἀπὸ στόματος ἀνθρωπίνου προέρχεται, σοῦ συμφώνως, ὃν ἀνυμνοῦσιν, Οὐρανῶν θεῖα στρατεύματα.

ὍΠλον ἄῤῥαγὲς καὶ τεῖχος σε, κεκτημένος τρέπω, τὰς ἐναντίων τὰς φάλαγγας, καὶ ὑμνῶ σου τὰ μεγαλεῖα Θεοτόκε Ἀπειρόγαμε.

ΠΡόσχες τῇ κραυγῇ τοῦ δούλου σου, τῆς σῆς δεομένου ἐπικουρείας Μητρόθεε, ἡ ἐλπίς μου εἰσάκουσόν μου, καὶ κατάπαυσον τοῦ σῶσαί με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ὄμβρους δίδου μοι δακρύων, καὶ πηγὴν κατανύξεως, ἀποκλύζουσάν μου, πάντα τῶν πταισμάτων τὸν βόρβορον, καὶ ἀναβλύζειν ἐκ βάθους ῥεῖθρα ζέοντα, τὴν καρδίαν μου τὴν ἐψυγμένην ἀξίωσον.

Κλαίων ἅμα καὶ δακρύων, Θεοτόκε προσπίπτω σοι, βοηθὸς γενοῦ μοι, ἐν τῷ τὴν ψυχήν μου χωρίζεσθαι, ἐκ τοῦ δυστήνου σαρκίου, καὶ καταίσχυνον, τοὺς ζητοῦντάς με δαίμονας τότε χειρώσασθαι.

Ἀπειρόγαμε Μαρία, τὸ γλυκύτατον ὄνομα, καὶ ὑπὲρ χρυσίον, λίθων τε πολὺ τιμιώτερον. ὁ πολυτίμητος πλοῦτος, καὶ ὑπέρτιμον, χρῆμα σῶσόν με, τὸν ἐπὶ σὲ καταφεύγοντα.

Ἀνατείνω μου τὰς χεῖρας, ἐπὶ σὲ καὶ τὰ ὄμματα, καὶ ῥυπῶντα χείλη, Δέσποινα κινῶ πρὸς τὴν δέησιν, μὴ οὖν βδελύξῃ με, ὅτι τὴν ἐλπίδα μου, ἐν σοὶ κέκτημαι, μετὰ Θεὸν ὁ οἰκέτης σου.

Ὠδὴ ε'. Ἀσεβεῖς οὐκ ὄψονται.

Ῥαθυμίας ὕπνος με, κατέλαβε βαρὺς, καὶ νωθρόν με πρὸς τὰ καλὰ, ὅλον καὶ δυσκίνητον πάντη πεποίηκε, πρὸς τὰ φαῦλα πρόθυμον, σὺ δὲ Κόρη με διόρθωσον.

Ἱερᾶς ἐκπέπτωκα καὶ κρείττονος ζωῆς, ὑποκύψας ταῖς ἡδοναῖς, καὶ ἀλόγοις κτήνεσι παρασυμβέβλημαι, ἐν τιμῇ γὰρ ἄνθρωπος, οὐ συνῆκα ὢν ὁ δείλαιος.

Ἀμελῶς ὁ χρόνος μου πληροῦται τῆς ζωῆς, ὑπορρέων ἡδυπαθῶς ὥσπερ ὕδωρ ἄστατον, καὶ δαπανώμενος τὴν τομὴν ἐγγίζουσαν, τοῦ θανάτου προαγγέλλει μοι.

Νοητῶς προσπίπτω σοι, Ἁγνὴ καὶ αἰσθητῶς, νοητῶν με καὶ αἰσθητῶν, ἐπιβόλων λύτρωσαι ἐπεμβαινόντων μοι, ῥυομένη βλάβης τε ὁρατῆς καὶ ἀοράτου με.

Ὠδὴ ς'. Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης.

Ἔντρομος γενοῦ ψυχὴ καὶ φρίξον, ἐννοουμένη ὅλη τὸ Κριτήριον, ᾧ παραστήσῃ, τὸ φοβερὸν, ὅπως καὶ ἀδέκαστον, καὶ πρὸ τέλους μετανόησον.

Νόησον ψυχὴ τὴν ἀτιμίαν, ἣν σεαυτῇ προσάπτεις, ἀντιστρέφουσα τὴν διαταξίαν, πρὸς τοῦ Θεοῦ, σοὶ τὸ ἄρχειν δέδοται, τῷ δὲ σώματι τὸ ἄρχεσθαι.

Μώλωπας καὶ τραύματα ψυχῆς μου, μὴ θριαμβεύσῃς Λόγε, μηδ' αἰσχύνῃς με πολλῶν ἐν μέσῳ, ὅτε ποιῇς, φοβερὰν ἐξέτασιν, ἱκεσίαις τῆς τεκούσης σε.

Φρίττει Οὐρανὸς καὶ γῆ κλονεῖται, σὺν τοῖς ὑποχθονίοις ἐκπληττόμενοι πῶς ἀμφοτέρων, ὁ Ποιητὴς, ἐν ἀγκάλαις φέρεται τῆς Παρθένου βρέφος ἄπορον.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Κάθισμα. Ὁ ὑψωθεὶς.

ΤΟ'ν ἐλεήμονα Θεὸν ἡ τεκοῦσα, τῆς εὐσπλαγχνίας ὡς πηγὴ πεφυκῦια, ἐλεήμων Κόρη καὶ φιλάγαθε, δώρησαι κατάνυξιν τῇ ψυχῇ μου πρὸ τέλους, χάρισαι χαρμόσυνον τῇ καρδίᾳ μου πένθος, ὡς ἂν πενθήσας τύχω διὰ σοῦ, τῆς τῶν δικαίων ἐκεῖ παρακλήσεως.

Ὠδὴ, ζ'. Ὁ διασώσας ἐν πυρί.

Ω"Μυστηρίου φοβεροῦ, ὢ φρικωδεστάτου σημείου, ὢ τεραστίου ἀκοῆς, ὅτι Κόρη Παρθένος ἀπείρανδρος, καὶ ζοφὸς καὶ λοχεύτρια ἐχρημάτισε τοῦ πάντων Θεοῦ καὶ Κτίστου.

Ο"Ταν τὰ πλήθη τῶν ἐμῶν, κακῶν ἐπὶ νοῦν ἀναλάβω, ἰλιγγιῶ καὶ ἐμαυτὸν, κατακρίνω πρὸ Κρίσεως ἔνδοθεν, κατακρῖνον γὰρ κέκτημαι, τὸ κριτήριον τὸ μέγα τοῦ συνειδότος.

Ω"Φθης Παναγίου Ναὸς, τῆς ὑπερουσίου οὐσίας, Κόρη καὶ ἅγιον Θεὸν, ὡς Ἁγία ἁγίως ἀπέτεκες, Παναγίου ἐκ Πνεύματος, ἐν μιᾷ τῇ ὑποστάσει, διπλῇ δὲ φύσει.

Ι'Δοὺ τὰ ἔσχατα σεμνὴ, πάντα καὶ ἀρχαῖα μου πάθη, καὶ τὰ ποικίλα μου δεινὰ, ἐν κλαυθμῷ καὶ ὀδύνῃ καὶ δάκρυσιν, ἐξηγόρευσα κράζων σοι. μὴ ἐάσῃς ἔρημόν με σῆς βοηθείας.

Ὠδὴ, η'. Παῖδας εὐαγεῖς.

ΝΥ"ν ἐν σεαυτῇ ἀναλογίζου, ψυχή μου πῶς μετ' ὀλίγον μέλλεις αἴρεσθαι, οἵῳ παραστήσεσθαι Βήματι καὶ Ἄρχοντι, τῷ τὰ κρυπτὰ γινώσκοντι σοῦ βδελύγματα, καὶ στέναξον ἐκ μέσης καρδίας, σῶσόν με πρεσβείαις Χριστὲ τῆς σὲ τεκούσης.

Α'Ρον πρὸς τὴν ἄνω Σιὼν πόλιν, καὶ τὴν Ἱερουσαλὴμ ψυχὴ τὸ ὄμμα σου, ὕψωσον τὴν ἔφεσιν, στρέψον σου τὴν ὄρεξιν, καὶ τὴν ἐπιθυμίαν σου εἰς τὰ Οὐράνια, ἐκεῖ γὰρ τὸ Πολίτευμα πέλει, πάντων τῶν Ἁγίων, ἡ ὄντως εὐφροσύνη.

ΟΙ' δάκρυσι σπείροντες ἐνταῦθα, καὶ σπέρματα ἀρετῶν προκαταβάλλοντες, οὗτοι καὶ θερίζουσιν, ὄντως ἀγαλλόμενοι, ἐν Οὐρανοῖς ἀείζωον, πολυκαρπίαν χαρᾶς, αὐτῆς με καταξίωσον Κόρη, ὅπως σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Υ'Πάρχων ὑπόδικος μυρίαις, εὐθύναις τί διαπράξομαι ὁ ἄθλιος, ὅτε παραστήσομαι, τῷ φρικώδει Βήματι, τοῦ σοῦ Υἱοῦ καὶ εὔλογον, ἀπολογίαν εἰπεῖν, ὧν ἔπραξα κακῶν ἀπαιτοῦμαι, σὺ Θεογεννήτωρ, βοήθησόν μοι τότε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεῶ

Ὠδὴ, θ΄. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Νῦν ὡς ἐν τῇ κρίσει παρεστὼς, γυμνὸς τετραχηλισμένος αἰσχυνόμενος, τρόμῳ ποδῶν σου τῶν ἀχράντων, ἐφάπτομαι καὶ βρέχω τοῖς δάκρυσιν, ὡς πρότερον ἡ πόρνη καὶ κράζω σοι, σῶσόν με Σῶτερ τῆς Μητρός σου εὐχαῖς.

Υἱὸν τὸν ἀμήτορα τὸ πρὶν, ἀπάτορα ἐπ᾿ ἐσχάτων Κόρη τέτοκας, ἴσον Πατρὶ καὶ βροτοῖς ἴσον, ἁπλοῦν τε καὶ διπλοῦν τὸν ἀσύνθετον, ἀθάνατον θνητὸν τὸν ἀσώματον, διττὸν τὴν φύσιν καὶ τὴν θέλησιν.

Ἀνθρώπων ἐνώπιον Χριστὲ, καὶ πάσης Ἐπουρανίου Ἐκκλησίας με, μὴ κατακρίνῃς ἐν τῷ κρίνειν, πρεσβείαις τῆς ἁγνῶς κυησάσης σε, χιλίων χιλιάδων, μυρίων τε παρισταμένων μυριάδων σοι.

Ὦ Μῆτερ τοῦ πάντων Ποιητοῦ, ὁλόφωτε λυπουμένων παραμύθιον, κινδυνευόντων προστασία, καὶ καταπονουμένων ἀντίληψις, τῶν ἀσθενούντων ἡ ἐπίσκεψις, σῶσόν με σῶσον τὸν ἀνάξιον.

Στιχηρὰ Προσόμοια. Ὁ ἐξ ὑψίστου κληθείς.

Ἐξαγορεύω Ἁγνὴ σοι Θεοτόκε, τὰ δεινά μου πταίσματα, εἰ γὰρ καὶ κρύψω αὐτὰ, ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως, ἀνοιγομένων τῶν βίβλων πάντων φανερωθήσονται, ὄμματα ἐρρύπωσα βλέπων τὰ ἄτοπα, χεῖρας ἐμόλυνα ἅπαν μου, ταῖς αἰσχρουργίαις, σῶμα ἠχρείωσα ὁ ταλαίπωρος, τὴν δὲ ψυχήν μου ἐτραυμάτισα, ἁμαρτίαις ἐλέησον οἴκτειρον, καὶ μερίδος με δεῖξον, σωζομένων ταῖς πρεσβείαις σου.

Ὅτι εἰς βάθη πολλῶν παραπτωμάτων, ἀθλίως κατήντησα ἐξ ἀμελείας μου, καὶ ῥαθυμίας ὁ δείλαιος, καὶ ἀπορίᾳ, καὶ ἀπογνώσει νυνὶ συνέχομαι, γενοῦ μοι βοήθεια καὶ ἱλαστήριον, καὶ σωτηρία Πανάχραντε, παραμυθίαν, διηνεκεστάτην παρεχομένη μοι, σὲ ἱκετεύω καὶ σοῦ δέομαι, καὶ προσπίπτω καὶ πίστει κραυγάζω σοι, μὴ δειχθείην εἰς τέλος, τῷ ἀλάστορι ἐπίχαρμα.

Τὰς τῶν δακρύων ῥοάς μου Θεοτόκε, ὡς μύρα προσάγαγε τῷ ποιητῇ καὶ Θεῷ, τοὺς στεναγμοὺς τῆς καρδίας μου· ὡς θεῖα δῶρα, τὴν προσευχὴν ὡς τερπνὸν θυμίαμα· γονάτων τὴν κλίσιν τε θῦμα ὡς ἄμωμον· καὶ τῶν χειρῶν μου τὴν ἔκτασιν· Παρθενομῆτορ, ὡς ὁλοκάρπωμα ἱερώτατον, τὴν συντριβήν τε τῆς ψυχῆς μου, καὶ στέρνων τύψιν ὡς λάφυρα τίμια, δεομένη μοι ποιοῦσα, ταῖς σαῖς τούτων παρακλήσεσι.

Διὰ τὸ σῶσαι τὸ γένος τῶν ἀνθρώπων, Υἱὸς ὁ συνάναρχος Πατρὶ καὶ Πνεύματι, Θεὸς ὑπάρχων ἀόρατος, σὰρξ καθωράθη, ἀναλλοιώτως ἐκ σοῦ Πανάμωμε, τούτῳ οὖν μεσίτευσον, τούτῳ οἰκείωσον, αὐτοῦ τῷ πόθῳ με πρόσδησον, καὶ φόβῳ θείῳ, τὰς ἐμὰς σάρκας Κόρη καθήλωσον, ἐκ τούτου τρέφειν καὶ πιαίνειν, ψυχὴν καὶ σῶμα εἰς τέλος με ποίησον, καὶ ἐκεῖθεν τῆς τούτου, ἀπολαύσεως ἀξίωσον.

# ΤΗ͂ ΔΕΥΤΕΡΑ, ἙΣΠΕΡΑΣ.

## ΚΑΝΩ͂Ν ΕἸΣ ΤΗ͂Ν

# ὙΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

Ὠδὴ, α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Σὺ μόνη ἀντίληψις, καταφυγὴ καὶ σωτήρησις, τῶν δούλων σου πέφυκας, Θεογεννήτωρ Ἁγνὴ, διὰ τοῦτό σοι προσπίπτω καὶ κραυγάζω, σῶσόν με τὸν ἄθλιον, τῇ συμπαθείᾳ σου.

Αἱ πράξεις αἱ κρύφιαι, τὸ συνειδός μου μαστίζουσι, πρὸ προσώπου φέρουσαι, τοῦτο τὸν ἔλεγχον, σπεῦσον Δέσποινα, βοήθεια γενοῦ μοι. πρὸ τῆς τελειώσεως, ῥῦσαι καὶ σῶσόν με.

Ἁγίασον Δέσποινα, τὴν μολυνθεῖσαν καρδίαν μου, ἡ τὸν ὑπεράγιον, Λόγον κυήσασα, καὶ ὑπάρχουσα, πασῶν ἁγιωτέρα, τῶν ἄνω Δυνάμεων, μόνη Πανύμνητε.

Ἐν σοὶ τὰς ἐλπίδας μου, τῆς σωτηρίας ἀνέθηκα, καὶ πρὸς σὲ τὴν εὔσπλαγχνον, πίστει κατέφυγον, μὴ παρίδῃς με, ἐλπὶς ἀπηλπισμένων· ἀλλ' ὡς παντοδύναμος, πρόφθασον σῶσόν με.

Ὠδὴ, γ΄. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Τὴν δρόσον τῆς σῆς μοι εὐσπλαγχνίας, παράσχου Πανάμωμε Ἁγνὴ, τῆς ἁμαρτίας καύσωνι, τηκομένῳ καὶ θλίψεων, ψυχὴν ἐπαναψύχουσα, καὶ τὴν καρδίαν μου εὐφραίνουσα.

Νοός μου τὸ σκότος Θεοτόκε, φωτὶ τῷ ἐν σοὶ ὡς ἀγαθὴ, ἐκδυσωπῶ διάλυσον, καὶ μετανοίας δάκρυσι, ῥυφθῆναί με ἀξίωσον, ὡς συμπαθὴς καὶ πολυέλεος.

Ῥανίσιν ἐλέους σου Παρθένε, τοὺς ἄνθρακας σβέσον τῶν ἐμῶν, παθῶν Θεοχαρίτωτε, καὶ ἐσβεσμένον ἄναψον, τὸν λύχνον τῆς καρδίας μου, χρυσῆ λυχνία ὑπάρχουσα.

Χειμάζει με κλύδων ἁμαρτίας, καὶ σάλος ἀτόπων λογισμῶν, σπλαγχνίσθητι Πανάμωμε, καὶ χεῖρα βοηθείας μοι, ὡς ἐλεήμων ἔκτεινον, ὅπως σωζόμενος γεραίρω σε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠ,δὴ, δ΄. Τὴν ἀνεξιχνίαστον.

Η'Πανυπερθαύμαστος Μήτηρ Θεοῦ, λάμψον μετανοίας ἀκτῖνα μοι, λῦσον τὸν ζόφον τῆς ἀθλίας μου ψυχῆς, καὶ πονηροὺς ἀφάνισον, διαλογισμοὺς τῆς καρδίας μου.

ΣΕ' τὸ ἱλαστήριον πάντων βροτῶν, πίστει ἱκετεύω καὶ δέομαι, ὡς ἐλεήμων ἵλεων μοι τὸν Κριτὴν, καὶ σὸν Υἱὸν ἀπέργασαι, ὅπως ἐν αἰνέσει δοξάζω σε.

ΤΗ'ν τεταπεινωμένην μόνη Α'γνὴ, καὶ λελεπρωμένην καρδίαν μου, ταῖς ἀκαθάρτοις τῶν παθῶν ἐπαγωγαῖς, ὡς Ι'ατρὸς θεράπευσον, καὶ χειρὸς δαιμόνων ἐξάρπασον.

ΣΚέπη καὶ ἀντίληψις, καταφυγὴ, γενοῦ μοι Παρθένε τῷ δούλῳ σου, καὶ λύτρωσαί με τῆς γεέννης τοῦ πυρὸς, τὸν κατακρίσεως ἄξιον, ὅπως αἰωνίως δοξάζω σε.

Ὠ,δὴ, ε΄. Ε'ξέστη τὰ σύμπαντα.

ΝΕκρούμενος πάθεσι, καὶ λογισμοῖς Παναμώμε, πρὸς τοὺς οἰκτιρμούς σου καταφεύγω, πρὸς τὴν θερμήν σου προστρέχω Δέσποινα, σκέπην καὶ βοήθειαν ζωὴν, μόνη ἡ κυήσασα, τὴν καρδίαν μου ζώωσον.

Ρ'Ομφαίᾳ τρωθέντα με, τῆς ἁμαρτίας ἴασαι, τῷ δραστικωτάτῳ σου φαρμάκῳ, ἡ τὸν Σωτῆρα τεκοῦσα Κύριον, λόγχῃ τὸν τρωθέντα δι' ἐμὲ, Α'ράντε καὶ τρώσαντα τὴν καρδίαν τοῦ ὄφεως.

ΝΟ'ος μου θεράπευσον, τὰς ἐκτροπὰς Παναμώμε, ἴασαι τὰ πάθη τῆς ψυχῆς μου, τῆς ῥαθυμίας σκότος ἀπέλασον, ὅπως εὐχαρίστως ἀνυμνῶ, πόθῳ καὶ γεραίρω σε, τὴν θερμήν μου ἀντίληψιν.

Ι'Α'σεων νάματα, ὀμβρίζεις Α'ειπάρθενε, πᾶσι τοῖς νοσοῦσιν ὡς νεφέλη, ἔμψυχος ὄντως τοῦ Βασιλέως Χριστοῦ. ὅθεν δυσωπῶ σε ἐκτενῶς, δρόσον ἰαμάτων μοι, ἀσθενοῦντι κατάπεμψον.

Ὠ,δὴ, ς΄. Τὴν θείαν ταύτην.

Η'Μόνη πάντων βοήθεια, βοήθησον ἡμῖν κινδυνεύουσι, καὶ χεῖρα ὄρεξον, καὶ πρὸς λιμένα κατεύθυνον, τῆς σωτηρίας μόνη Θεοχαρίτωτε.

ΛΟγοθεσίου με Πάναγνε, ἐν ὥρᾳ τῇ φρικτῇ σὺ ἐξάρπασον, τῆς τῶν δαιμόνων τε, δεινῆς ἀπάτης καὶ κρίσεως, πυρός με ῥυομένη τοῦ αἰωνίζοντος.

Υ'Μνολογῶ σε πανύμνητε, δοξάζω τὰ σεπτὰ μεγαλεῖά σου, τῶν ἀκαθάρτων με, διὸ παθῶν ἐλευθέρωσον, καὶ τῆς ἀφράστου δόξης με καταξίωσον.

Υ'Μνεῖν σε χρέος ὀφείλομεν, ἀλλ' ὄντως πρὸς ἀξίαν οὐ σθένομεν. διὸ θαυμάζοντες, σιγῇ τιμῶμεν τὸ ἄφραστον, φρικτῶς ἐν σοὶ Παρθένε πραχθὲν μυστήριον.

Κα-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Κάθισμα. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ Περιβάλλων Οὐρανὸν ἐν νεφέλαις, ὁ σπαργανῶν πᾶσαν τὴν γῆν ἐν ὁμίχλῃ, καὶ περιγράφων ψάμμῳ τε τὴν θάλασσαν, ὅπως ἀπερίγραπτος τῇ Θεότητι πέλων, θέλων περιγράφεται, καὶ σπαργάνοις εἱλεῖται, περιβολῇ σαρκὸς ἐκ σοῦ σεμνή, ἐνανθρωπήσας, καὶ σώσας τὸν ἄνθρωπον.

Ὠδὴ, ζ'. Οὐκ ἐλάτρευσαν.

Ἀναλλοίωτον τεκοῦσα μόνη Κύριον, Θεοχαρίτωτε, τῇ παναλκεῖ δεξιᾷ, τὸν νοῦν ἀλλοιῶσαί μου αὐτὸν ἱκέτευε, πρὸς τὰ κρείττονα, δεινῶς περιτρεπόμενον, ταῖς τῶν δαιμόνων ἐπηρείαις.

Ἡ Βασίλισσα Παρθένος ἡ κυήσασα, τὸν Βασιλέα Χριστόν, οἰκτείρησον σῶσόν με, κλονούμενον πάθεσι, πίστει στερέωσον, καὶ ὁδήγησον, πρὸς σωτηρίας τρίβον με, τῶν Πιστῶν ἡ σωτηρία.

Ἱλαστήριόν μοι φάνηθι, Πανάμωμε, πρὸς τὸν τεχθέντα ἐκ σοῦ, ἀποκοπὰς χαλεπῶν, χρεῶν προξενοῦσά μοι, καὶ Βασιλείας Θεοῦ, θείαν εἴσοδον, καὶ τῆς τρυφῆς ἀπόλαυσιν, καὶ φωτὸς τὴν μετουσίαν.

Παναμώμητε Μαρία, καὶ ἀσύγκριτε τῇ ἁγιότητι, ἡ τὸν Θεὸν ἐν σαρκί, Παρθένε κυήσασα, ἀπειρογάμως Ἁγνή, αὐτῷ πρέσβευε, παντοίας με κακώσεως, καὶ κολάσεως ῥυσθῆναι.

Ὠδὴ, η'. Παῖδας εὐαγεῖς.

Ἀσώτως τὸν βίον διανύσας, καὶ πᾶσαν ἀκαθαρσίαν ἐργασάμενος, τρέμω τὸ Κριτήριον, τὴν φρικτὴν ἐξέτασιν, καὶ τὴν δεινὴν ἀπόφασιν τῆς καταδίκης μου, ἐλέησον Κόρη τὴν ψυχήν μου, καὶ πρὸ τοῦ θανάτου, συγχώρησιν παράσχου.

Ἐν σοὶ πᾶσαν ἐλπίδα σωτηρίας, ἀνέθηκα Θεομῆτορ Ἀπειρόγαμε, καὶ σὲ εἰς βοήθειαν, προσκαλοῦμαι πάντοτε, διάσωσόν με θλίψεων καὶ πειρασμῶν τοῦ ἐχθροῦ, καὶ λῦσον τὰς σειρὰς τῶν κακῶν μου, καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασόν με.

Ὡράθης Ἀγγέλων ὑπερτέρα, Θεὸν ἀπορρήτως σωματώσασα, τοῦτον οὖν ἱκέτευε, Δέσποινα Πανάμωμε, τῶν σαρκικῶν ἀνώτερον, γενέσθαι με πειρασμῶν, καὶ Κρίσεως μελλούσης ῥυσθῆναι, καὶ τῆς αἰωνίου ζωῆς ἀξιωθῆναι.

Ναμάτων με πλήρωσον Παρθένε, ἐνθέων ἡ τὴν Πηγὴν κυοφορήσασα, λύτρωσον τοῦ καύσωνος τῶν ἁμαρτημάτων με, καὶ πρὸς ζωὴν ὁδήγησον καὶ σωτηρίαν Ἁγνή, ὅπως ᾄδω πᾶσι τὰ θαυμάσια, καὶ γεραίρω σου πόθῳ τὴν δύναμιν.

Ὠδὴ,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ θ'. Ἅπας γηγενής.

Στῆσον τὴν νομὴν, τὴν τῆς ἁμαρτίας μου Θεοχαρίτωτε, τὴν λυμαινομένην μου, ψυχὴν καὶ σῶμα καὶ τὴν διάνοιαν, τῇ πανσθενεῖ πρεσβείᾳ τε καὶ προστασίᾳ σου, θεραπείαν, διδοῦσα σωτήριον, τοῦ Δεσπότου τὸν φόβον τὸν ἄχραντον.

Σύ μου φωτισμὸς, σύ μου ἀπολύτρωσις καὶ συμμαχία μου, σὺ δόξα καὶ καύχημα, καὶ προσδοκία καὶ σωτηρία μου, ὑπάρχεις παντευλόγητε καὶ σὲ πιστῶς προσκυνῶ, καὶ βοῶ σοι, σῶσόν με τὸν ἄθλιον, τὸν ἀφρόνως Θεοῦ μακρυνόμενον.

Σῶσόν με Ἁγνὴ, Σωτῆρα κυήσασα, καὶ πανοικτίρμονα, οἴκτειρον τὸν δοῦλόν σου, πρὸς μετανοίας τρίβους ὁδήγησον, τοῦ πονηροῦ τὰ σκάνδαλα ἐκ μέσου ποίησον, τῆς αὐτοῦ δὲ λύτρωσαι ἐνέδρας με, καὶ πυρὸς αἰωνίου ἐξάρπασον.

Νοῦς ἀδυνατεῖ, καὶ πᾶσα διάνοια ἰλιγγιᾷ γηγενῶν, σὲ τὴν ὑπεραίρουσαν, καὶ τοὺς Ἀγγέλους ἐν ἁγιότητι, καὶ Σεραφὶμ ἐπέκεινα καὶ Χερουβὶμ ἀνυμνεῖν· Παναγία ὅθεν εὐφημοῦντές σε, τοῦ Ἀγγέλου τὸ Χαῖρε κραυγάζομεν.

Στιχηρὰ Προσόμοια. Ἔδωκας σημείωσιν.

Μόνος ὑπὲρ ἄνθρωπον, ὁ ἐμπαθὴς ἐπλημμέλησα, μόνος ὤφθην ὁ ἄθλιος, ἐγὼ πάσης πράξεως, ἀρετῆς ἐνδεὴς, γυμνὸς ὄντως ὅλος. τίς οὖν μὴ κλαύσῃ ἐπ' ἐμοί; τίς μὴ θρηνήσῃ μου τὴν ἀπώλειαν; διὸ πρὸ τέλους κράζω σοι. ἥμαρτον Δέσποινα σῶσόν με, τὸν ἀσώτως τὸν βίον μου, καὶ αἰσχρῶς ἀναλώσαντα.

Χαῖρε καταφύγιον, Χριστιανῶν τὸ ἀπόρθητον. χαῖρε Κόσμου διάσωσμα. χαῖρε τὸ κραταίωμα, τῶν Βασιλευόντων. χαῖρε Ἱερέων, ἡ παῤῥησία πρὸς Θεὸν, Ἀρχιερέων τὸ ἐγκαλλώπισμα. χαῖρε θανάτου νέκρωσις. χαῖρε ζωῆς πᾶσι πρόξενος. χαῖρε πάναγνε Δέσποινα, τὸ ἐμὸν καταφύγιον.

Ὄμβρησόν μοι Δέσποινα, τοῦ σοῦ ἐλέους τὰ νάματα, καὶ φλεχθεῖσαν τῷ καύσωνι, παθῶν τὴν καρδίαν μου, ὡς συμπαθεστάτη, κατάρδευσον Κόρη, καὶ κατανύξεως κρουνοὺς, φέρειν ἀπαύστως, ποίησον δέομαι, δι' ὧν τῆς παρακλήσεως, τῶν σωζομένων καὶ τέρψεως, τῆς ἀεὶ ἐπιτύχοιμι, ὁ ἀχρεῖος οἰκέτης σου.

Σὲ τὸ καθαρώτατον, τοῦ Βασιλέως Παλάτιον, δυσωπῶ Πολυύμνητε, τὸν νοῦν μου καθάρισον, τὸν ἐσπιλωμένον, πάσαις ἁμαρτίαις, καὶ καταγώγιον τερπνὸν, τῆς ὑπερθέου Τριάδος ποίησον, ὅπως τὴν δυναστείαν σου, καὶ τὸ ἀμέτρητον ἔλεος, μεγαλύνω σωζόμενος, ὁ ἀχρεῖος οἰκέτης σου.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂Ι ΤΡΙ'ΤΗΙ Ε'ΣΠΕ'ΡΑΣ,

## ΚΑΝΩ'Ν ΕΙ'Σ ΤΗ'Ν

# Υ'ΠΕΡΑΓΙ'ΑΝ ΘΕΟΤΟ'ΚΟΝ.

Ὠ'δὴ, ά. ἦχος, δ'. Τεισάτας κραταιὰς.

ΔΟχεῖον ἱερὸν, ἱερὰ Θεοτόκε, γεγονυῖα τοῦ ὑψίστου, καὶ ὄντως ἱεροῦ, Παναγίου τε Πνεύματος, τὴν καρδίαν μου δοχεῖον, ἐναγὲς χρηματίζουσαν, ἀκαθάρτων πνευμάτων ἁγίασον.

ΣΒεστήριόν μοι δὸς δάκρυον Παναγία, τῆς γεέννης τοῦ πυρὸς, καὶ λούειν με νυκτὶ καὶ ἡμέρᾳ ἀξίωσον, κλίνην τε καὶ τὴν στρωμνήν μου, καπανύξεως ῥεύμασιν, ἵνα μὴ ἀφυπνώσω εἰς θάνατον.

ΠΟικίλων ἡδονῶν, ἐκταράττει με σμῆνος, καὶ συστρέφει καταιγὶς, παθῶν πολυειδῶν, εἰς ἀπόγνωσιν κλώθουσα, ἀλλὰ σοῦ τῇ ζωηφόρῳ, δεξιᾷ με κυβέρνησον, μετανοίας πρὸς ὅρμον Πανύμνητε.

Ὁ Λόγος τοῦ Πατρὸς, ὁ τὸ πᾶν οὐσιώσας, ἐκ μὴ ὄντων ὡς Θεὸς, ὁ πάσης ὁρατῆς ἀοράτου τε Κτίσεως, αἴτιος ὑπὲρ αἰτίαν, σὲ αἰτίαν σαρκούμενος, ὡς ἠθέλησεν ἔσχηκε Δέσποινα.

Ὠ'δὴ, γ'. Οὐκ ἐν σοφίᾳ.

ΤΙμιωτέρα, Σεραφὶμ ἀσυγκρίτως ὑπάρχουσα, τὸν τιμῶντά σε ἀεὶ, ἐξ ἀτιμίας ἀτίμων παθῶν, ὑπέρτιμε Δέσποινα, ῥῦσαι καὶ σῶσόν με.

ΣΕ' ἐν ἡμέρᾳ, τῆς φρικτῆς ἐξετάσεως εὕροιμι, προστασίαν ἀψευδῆ, καὶ ἐν καιρῷ τῆς ἐξόδου μου, ὀξεῖαν ἀντίληψιν Θεογεννήτρια.

ΝΩ'τοις ἀγγελικοῖς, Χερουβὶμ ὁ ὀχούμενος Δέσποινα, φλογοφόρον ἐπὶ γῆς, σὲ κατεσκεύασεν ὄχημα, ἐν ᾧ ἐποχούμενος ἡμῖν ὡμίλησεν.

ΑΓιωτέρα τῶν Ἁγίων ὡς οὖσα Δυνάμεων, Παναγία τὸν Θεὸν, τὸν ἐν ἁγίοις Ἁγίων ψυχαῖς, ἐπαναπαυόμενον ἁγίως τέτοκας.

Ὠ'δὴ, δ'. Ὁ καθήμενος ἐν δόξῃ.

ΚΛαίων ἅμα καὶ δακρύων, Θεοτόκε προσπίπτω σοι, βοηθὸς γενοῦ μοι, ἐν τῷ τὴν ψυχήν μου χωρίζεσθαι, ἐκ τοῦ δυστήνου σαρκὸς, καὶ κατάσχυνον, τοὺς ζητοῦντάς με δαίμονας τότε χειρώσασθαι.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἀ'Νατείνω μου τὰς χεῖρας, ἐπὶ σὲ καὶ τὰ ὄμματα, καὶ ῥυπῶν τὰ χείλη, Δέσποινα κινῶ πρὸς τὴν δέησιν, μὴ οὖν βδελύξῃ με ὅτι, τὰς ἐλπίδας μου, ἐν σοὶ κέκτημαι μετὰ Θεὸν ὁ οἰκέτης σου.

Μ'Υριώνυμε Παρθένε, Πολυύμνητε Δέσποινα, Παναγία Κόρη, πάγχρυσε παστὰς ἀχειρόπλοκε, ἄσπιλε, ἄφθορε Νύμφη, πανακήρατε, ἀπειρόγαμε Μῆτερ Θεοῦ σύ με οἴκτειρον.

Ἰ'Ησοῦν τὸν ζωοδότην, ὃν ἐγέννησας Δέσποινα, ὑπὲρ νοῦν καὶ λόγον, ἄνθρωπον ἐκ σοῦ χρηματίσαντα, διὰ παντὸς ἐκδυσώπει τῆς μερίδος με, καὶ τῆς στάσεως τῶν ἐκλεκτῶν δεῖξαι μέτοχον.

Ὠ'δὴ, ε'. Νῦν ἀναστήσομαι.

Θρόνε πυρίμορφε, Χερουβικὸν ὄχημα Θεοῦ, πάντιμε θάλαμε, Κλῖμαξ Οὐράνιε, κιβωτὲ περικαλλὴς κεχρυσωμένη, λογικὴ περιστερὰ, Παναγία Παρθένε σῶσόν με.

Ὄ'Μβρους δακρύων μοι, καθαρτικῶν ὄμβρησον Ἁγνὴ, πένθος χαρμόσυνον, λύπην εὐφρόσυνον, κατανύξεως πηγὴν δακρυοφόρον, καὶ μετάνοιαν θερμὴν, καὶ συγχώρησιν δός μοι Δέσποινα.

Ἔ'Μψυχον Τέμενος, χωρητικὸν δόξης τοῦ Θεοῦ, ἅγιον σκήνωμα, θεῖον Ἀνάκτορον, καθαρὸν καὶ ἱερὸν, Χριστοῦ ταμεῖον, πορφυρόχρυσε παστὰς, Παναγία Παρθένε σῶσόν με.

Στέναξον πένθησον, λοῦσον τὸ σὸν πρόσωπον, ψυχὴ δάκρυσι ῥεύσει, πλῦνον τὰς χεῖράς σου, κατανύξεως ῥοαῖς, καὶ ὡς ἡ πόρνη, νοερῶς ἅψαι ποδῶν, τῆς Παναγνοῦ καὶ λάβῃς ἄφεσιν.

Ὠ'δὴ, ς'. Ἐβόησε.

Σταλάζειν με, δακρυρρόους λιβάδας ἐνίσχυσον, Θεοτόκε, ἐφ' ἣν δρόσος Οὐράνιος ἔσταξε, δροσοβόλος τόκος, τὸν σὸν τόκον γὰρ Κόρη ἐδήλωσε.

Νῦν ἄκουσον, στεναγμοῦ μου Παρθένε καὶ τάχυνον, ἐξελέσθαι, τὸν σὸν δοῦλον ἐκ στόματος λέοντος, ὅπως ἀνυμνῶ σε, τὴν Πανύμνητον καὶ παναμώμητον.

Ἐ'Βόησα, πειρατηρίοις πολλοῖς συνεχόμενος, πλεονάκις, καὶ ἐκ πάντων ἐρρύσω με ἄσωτον, καὶ νῦν σοὶ κραυγάζω, τὴν ψυχήν μου διάσωσον Δέσποινα.

Φιλάνθρωπον, καὶ οἰκτίρμονα Λόγον κυήσασα, καὶ ἐλέους θελητὴν, Θεοτόκε ἐλέησον, τὴν ψυχήν μου ὅτι, ἐπὶ σοὶ τὰς ἐλπίδας ἀνέθετο.

Κάθισμα. Ὁ ὑψωθείς.

Φιλαμαρτήμων πεφυκὼς δυσωπῶ σε, τὸν ἀναμάρτητον Θεὸν τὴν τεκοῦσαν, τὸν ἁμαρτίας αἴροντα τοῦ Κόσμου σεμνὴ, τὴν πολυαμάρτητον



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

οἰκτειρῆσαι ψυχήν μου, καὶ τὰς ἀνομίας μου τὰς πολλὰς ἐξαλεῖψαι, ἁμαρτωλῶν αὐτὴ γὰρ ἱλασμός, καὶ σωτηρία Πιστῶν καὶ ἀντίληψις.

Ὠδὴ, ζ'. Ο῾ διασώσας ἐν πυρί.

Ρ῾Ανίδα μίαν ἐξαιτῶν ὕδατος ἐμψύξαι τὴν γλῶσσαν, ὀδυνωμένην ἐν φλογὶ, τῆς γεέννης ὁ πρὶν εἰς ἀπόλαυσιν, καὶ τρυφὴν πολὺς πλούσιος, οὐκ ἐπέτυχε ψυχή μου φοβοῦ τὸ δράμμα.

Ω῞Ραν τῆς Κρίσεως εἰς νοῦν, Δέσποινα βαλλόμενος τρέμω, καὶ ἀγωνίᾳ συσχεθεὶς, ὅτι σὲ καταφεύγω σὺν δάκρυσιν, ἡ ἐλπὶς ἡ βεβαία μου, ἀπροστάτευτόν με τότε μὴ καταλίπῃς.

Ο῾ Τὴν ψυχὴν ἀναισθητῶν, καὶ πεπωρωμένος ὡς λίθος, σὲ Παναγία δυσωπῶ, τὴν θεόγραφον πλάκα, τὴν ἄφεσιν, ἐν ᾗ πάντων ὑπέγραψεν ὁ Θεὸς, κἀμὲ τῇ Βίβλῳ τῶν ζώντων γράψαι.

Η῾Νίκα μέλλω τῷ φρικτῷ, Βήματι Χριστοῦ παραστῆναι, γεγυμνωμένος ὁ πολλαῖς, ἁμαρτίαις κατάκριτος Δέσποινα, συμπαράστηθι τότε μοι, ῥυομένη με ἀνάγκης καὶ πάσης βλάβης.

Ὠδὴ, η'. Παῖδας εὐαγεῖς.

Χ Αῖρε θεοβάδιστον χωρίον, Παράδεισε λογικὲ θεοβλαστούργητε. χαῖρε πόλις ἔμψυχε. χαῖρε θρόνε πύρινε. χαῖρε χαρᾶς Ἀνάκτορον καὶ ἐνδιαίτημα, λαβὶς ἀνθρακοφόρε λυχνία, πάγχρυσε καὶ πλήρης ἀσβέστου θείου φάους.

Σ Τάξον γλυκασμὸν ἐν τῇ ψυχῇ μου, πικρίᾳ συνεχομένῃ παραπτώσεων, θείας παρακλήσεως, Κόρη ἀπειρόγαμε, ὁ γλυκασμὸς Ἀγγέλων γὰρ, σὺ καὶ ἀνθρώπων Πιστῶν, καὶ δὸς τοῦ Οὐρανίου με Δείπνου, καὶ τρυφῆς γλυκείας τυχεῖν τοῦ Παραδείσου.

Λ Υχνία φωτὸς τοῦ τρισηλίου, ὑπάρξασα πανυπέρλαμπρος τῷ φέγγει σου, τὸν ζόφον ἀπέλασον, τῶν πλημμελημάτων μου, Θεοκυῆτορ λύτρωσιν τῶν δυσχερῶν ὀδυνῶν, βραβεύουσα τῷ πίστει ὑμνοῦντι, καὶ ὑπερυψοῦντι τὸν ἄχραντόν σου τόκον.

Ε῾Ν ὥρᾳ Παρθένε τελευτῆς μου, χειρὸς τῶν δαιμόνων με ἐξάρπασον, καὶ τῆς κατακρίσεως, καὶ λογοθεσίου με, τῆς φοβερᾶς ἐπάσεως, καὶ τελωνίων πικρῶν, καὶ ἄρχοντος δεινοῦ Θεομῆτορ, καὶ τοῦ αἰωνίου πυρὸς τῆς καταδίκης.

Ὠδὴ, θ'. Ἅπας γηγενής.

Ι῎Δε τὴν ἐμὴν, ἱλέῳ σου ὄμματι ἐσχάτην κάκωσιν, ἰδοὺ μοι προεξένησεν, ἡ ἀμετρία τῶν ἐπταισμένων μοι, καὶ πρὸς τὸ πλῆθος Δέσποινα τῶν ὀδυνῶν μου αἱ σαὶ, παρακλήσεις νῦν ἐν τῇ καρδίᾳ μου, τὴν ψυχήν μου ταχὺ εὐφρανάτωσαν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Στόματι πλατεῖ, καὶ γλώσσῃ συντόνως σε, καὶ γηθοσύνῳ ψυχῇ, οὔποτε πεπαύσομαι, γεραίρειν Δέσποινα πολυύμνητε· ἐν γὰρ τῷ σῷ ὀνόματι ἀρῶ τὰς χεῖράς μου, καὶ ἐν πάσῃ χαίρων εὐλογήσω σε, τῇ ζωῇ μου ζωὴ τῶν ποθούντων σε.

Ἄβυσσον Θεὸν, ἐλέους κυήσασα, καὶ μέγα πέλαγος, ξήρανον, ἀνάστειλον, τὰς ἐπιῤῥοίας καὶ τὴν ἀνάβλυσιν, ἐν τῇ ῥοῇ Παναμώμε τῆς συμπαθείας σου, τῶν κακῶν μου, ῥεῖθρον κατανύξεως, ἀποπλῦνόν με Κόρη διδοῦσα μοι.

Στέλεχος σαπρὸν, καρπὸν οὐ βλαστήσειεν ὑγιῆ πώποτε, πηγὴ πικρογόνος δὲ, γλυκάζον ὕδωρ οὐκ ἀναβλύσειεν, ὀρθοὺς δὲ πῶς ποιήσεται λόγους καρδία σκαμβή. διὸ τρέμω, Δέσποινα γεραίρων σε, πλὴν εἰδυῖα τὴν πίστιν μου σῶσόν με.

Στιχηρὰ Προσόμοια. Ὡς γενναῖον ἐν Μάρτυσι.

Θεοτόκε βοήθει μοι, ὅταν μέλλω παρίστασθαι, γυμνὸς ἐπὶ Βήματος καὶ ἐτάζεσθαι, τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ ἡμῶν, τότε με διάσωσον, ἐκ πυρός τε καὶ βρυγμοῦ, καὶ ἐκ σκότους καὶ σκώληκος, μὴ παρίδῃς με, ἐπὶ σοὶ τὰς ἐλπίδας ἀνεθέμην, ὅτι δύνασαι μεγάλως, μετὰ Θεὸν βοηθῆσαί μοι.

Χαρισμάτων τοῦ Πνεύματος, τοῦ ἁγίου με πλήρωσον, καὶ ἀγάπην δώρησον τὴν σωτήριον, πρὸς τὸν Θεὸν καὶ πρὸς ἅπαντας, σαφῶς τοὺς πλησίον μου, καὶ εἰρήνην ἐμαυτῷ, καὶ πραότητα βράβευσον, πίστιν ἄμωμον, καὶ τὴν πάντα τὰ Θεῖα συντηροῦσαν, καὶ πρὸς πάντα συνεργοῦσαν, τὴν παθοκτόνον ἐγκράτειαν.

Ἐν νυκτὶ καὶ ἡμέρᾳ σε, δυσωπῶ Παναμώμητε, καὶ αἰτοῦμαι λύσιν τῶν ἐγκλημάτων μου, σὺ δέ μοι πρόσχες ὡς εὔσπλαγχνος, καὶ τάχος ἐπάκουσον, τῆς οἰκτρᾶς τοῦ δούλου, σοῦ οἰκέτου δεήσεως, ῥυομένη με, τῶν ἀπείρων κακῶν μου ὧν ἐκ βρέφους, εἰργασάμην βορβορώσας, ψυχὴν καὶ σῶμα ὁ ἄθλιος.

Μυριάκις Παναμώμε, ὑπεσχόμην μετάνοιαν, τῶν ἐμῶν ποιήσασθαι παραπτώσεων, ἀλλ' οὐκ ἐᾷ με ἡ φαύλη μου, τῶν κακῶν συνήθεια, διὰ τοῦτό σοι βοῶ, καὶ προσπίπτω σὺν δάκρυσι, καὶ σοῦ δέομαι, ἐξελοῦ με τοιαύτης τυραννίδος, ὁδηγοῦσα πρὸς τὰ κρείττω, καὶ σωτηρίας ἐχόμενα.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# Τῌ͂ ΤΕΤΑ΄ΡΤΗ, Ε῾ΣΠΕ΄ΡΑΣ,

## ΚΑΝΩ͂Ν ΕΙ͗Σ ΤΗ͂Ν

## Υ῾ΠΕΡΑΓΙ΄ΑΝ ΘΕΟΤΟ΄ΚΟΝ.

Ὠδὴ, α΄. ἦχος, δ΄. Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

ΚΥρίως καὶ ἀληθῶς γεγέννηκας, Θεὸν καὶ Κύριον, καὶ Θεοτόκος μόνη ἀληθῶς, καὶ κυρίως ἐκλήθης Ἁγνή. διὸ πιστῶς γεραίρομεν, καὶ καπαχέος σε δοξάζομεν.

ΝΥμφῶνα τῆς τοῦ Θεοῦ σαρκώσεως, Ἁγνὴ πανάχραντον, καὶ λογικὸν γινώσκων σε σαφῶς, ἱκετεύω ῥυσθῆναί με, παθῶν σαρκὸς καὶ πνεύματος, καὶ πειρασμῶν καὶ περιστάσεων.

Ὡς Κλίμαξ τῆς πρὸς ἡμᾶς ἀφίξεως, τοῦ Παντοκράτορος, δι᾽ ἧς Θεὸς κατῆλθεν ἐπὶ γῆς, ἐκ γηΐνων παθῶν τῆς σαρκὸς, πρὸς Οὐρανὸν ἀνύψωσον, καὶ πρὸς Θεόν με χειραγώγησον.

ΦΩτί με τῶν πρεσβειῶν σου φώτισον, νυκτὶ καθεύδοντα, ἡ ἐρυομένη Μήτηρ τοῦ φωτὸς, καὶ πρὸς φῶς τὸ ἀνέσπερον, καὶ πρὸς ζωὴν αἰώνιον, σῇ εὐσπλαγχνίᾳ καθοδήγησον.

Ὠδὴ, γ΄. Οὐκ ἐν σοφίᾳ.

ΝΑ΄ουσα κρήνη, θλιβομένοις παρακλησιν φέρουσας, διὸ Δέσποινα κἀμοὶ, πρεσβευτικῶν σου ναμάτων ῥοὴν, βλύσον καὶ κατάσβεσον παθῶν τὴν κάμινον.

ΤΡαυματισθέντα, λογισμῶν ἐξ ἀτόπων θεράπευσον, ἡ τῆς φύσεως ἡμῶν, ἰασαμένη πληγὴν χαλεπὴν, τὸν ταύτης γὰρ τέτοκας πλάστην καὶ Κύριον.

ΕΝ τῷ πελάγει τῶν πολλῶν μου πταισμάτων Πανάμωμε, καὶ παθῶν καὶ πειρασμῶν, κλυδωνιζόμενον πάχει πολλῷ, λιμένι καθόρμισον σῆς ἀντιλήψεως.

ΤΗν πλατυτέραν Οὐρανοῦ καὶ τῆς γῆς ὑπερτέραν σε, συμπτωθεὶς καὶ στενωθεὶς, ταῖς τῶν ἐχθρῶν ἐπιθέσεσιν, ἐν θλίψει πλατυνθῆναί με, δέομαι Δέσποινα.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, δʹ. Ὁ καθήμενος ἐν δόξῃ.

Ἰατῆρα καὶ Σωτῆρα, καὶ λυτῆρα τῶν θλίψεων, ἡ τεκοῦσα Κόρη, πάντων με δεινῶν ἐλευθέρωσον, καὶ εὐφροσύνης ἀῤῥήτου τὴν καρδίαν μου, Κόρη πλήρωσον, ὅπως ἀεὶ μακαρίζω σε.

Ἀγλαόκαρπόν σε δένδρον, καὶ φυτὸν εὐσκιόφυλλον, οἱ Πιστοὶ καλοῦμεν, ὡς ἀθανασίας ἐκφύσασαν, καρπὸν ὡραῖον τῷ κάλλει καὶ σωτήριον. ὃν ἱκέτευε ὑπὲρ τῶν πίστει τιμώντων σε.

Ὢ Καινῆς καὶ παραδόξου, μίξεώς τε καὶ κράσεως, Παρθενίας τόκον, λύσας τεχθεὶς ὁ Θεάνθρωπος, καὶ τὴν τεκοῦσαν ἀφράστως καταλέλοιπε, πάλιν πάναγνον ὡς πρὸ τοῦ τόκου καὶ ἄφθορον.

Ὁ Ταῖς ἄνω στρατηγίαις φοβερὸς καὶ ἀπρόσιτος, προσιτὸς τοῖς κάτω, ὤφθη ἐξ ἀνύδρου νεανίδος, ἣν εὐσεβῶς Θεοτόκον ὀνομάζομεν, καταλλήλως τῷ τόκῳ τὴν κλῆσιν πλουτίσασαν.

Ὠδὴ, εʹ. Σὺ Κύριέ μου φῶς.

Παράδεισος ζωῆς, Θεοτόκε ὑπάρχουσα, θανάτου τῆς ἁμαρτίας, καὶ παθῶν πολυτρόπων, ἐκλύτρωσαι τοὺς δούλους σου.

Ἀλάβαστρον Ἁγνὴ, νοητὸν σὺ ὑπάρχουσα, τοῦ μύρου τοῦ κενωθέντος, ἐπὶ γῆς Οὐρανόθεν· κἀμὲ νῦν εὐωδίασον.

Ῥέουσαν πρὸς φθορὰν, ἀνεκτήσω τὸν ἄνθρωπον, διὰ τοῦ θείου σου τόκου, καὶ τῆς πρὶν ἀφθαρσίας, Παρθένε κατηξίωσας.

Ὡς οὖσα Χερουβὶμ, Σεραφὶμ ὑπερτέρα τε, Πανάχραντε Θεοτόκε, τὴν ψυχήν μου φώτισον, τῷ θείῳ καταλαμπρυνον.

Ὠδὴ, ςʹ. Θύσω σοι.

Οἴκτειρον, ὡς συμπαθὴς ἐμὲ τὸν ἀκάθαρτον, καθαρωτέρα ὡς οὖσα, λαμπηδόνων Ἄχραντε τοῦ Ἡλίου, καὶ φωτός μου, τὴν καρδίαν ἐνθέου σου πλήρωσον.

Ἔστησας, τὴν φθορὰν γεμομένην τῆς φύσεως, δι' ἀκραιφνοῦς ἀφθορίας, ἀλλὰ στῆσον Ἄχραντε τῶν παθῶν μου, τοὺς χειμάῤῥους, καὶ σαρκικοῦ φρονήματος ῥύακας.

Ὑμνῶ σε, τὴν Θεὸν ὑπερύμνητον τέξασαν, καὶ ἱκετεύω σε πόθῳ, φοβερᾶς με δίκης καὶ αἰωνίου, Θεοτόκε, κατακρίσεως ῥῦσαι καὶ σῶσόν με.

Μόνην σε, τιμιωτέραν ἔγνωμεν Πάναγνε, τῶν Χερουβὶμ ὡς τεκοῦσαν, τὸν αὐτοὺς ποιήσαντα ἐκ μὴ ὄντων, ὃν δυσώπει, οἰκτειρῆσαι ἡμᾶς ἀνυμνοῦντάς σε.

Κοντάκιον. Ἐπεφάνης σήμερον.

Προστασία ἄμαχε, τῶν θλιβομένων, καὶ πρεσβεία ἕτοιμος τῶν πεποιθότων ἐπὶ σοὶ, ἐκ τῶν σκανδάλων με λύτρωσαι, καὶ μὴ παρίδῃς δεινῶς κινδυνεύοντα.

Ὠδὴ,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, ζ'. Ἐν τῇ καμίνῳ.

Ἡ Θεία κρήνη, τῆς εὐσπλαγχνίας καὶ ἀγαθότητος, βλύσον δαψιλῶς μοι πλοῦτον σῶν οἰκτιρμῶν, καὶ τὸν ῥύπον τῶν πταισμάτων μου, ἐναποπλύνουσα, τὴν τῆς σαρκὸς κατάσβεσον πύρωσιν.

Τὸν ἐκ Θεοῦ μοι χορηγηθέντα πλοῦτον πνευματικὸν, πρώην ζῶν ἀσώτως πάντα ταῖς ἡδοναῖς, κατηνάλωσα τοῦ σώματος, ἀλλ' ὡς τὸν ἄσωτον, ταῖς σαῖς λιταῖς Παρθένε δικαίωσον.

Χοροὶ Ἀγγέλων, χοροὶ Μαρτύρων καὶ Ἀποστόλων σου, Λόγε δυσωποῦσι πάντοτε τὴν πολλὴν εὐσπλαγχνίαν σου φιλάνθρωπε, πάντας οἰκτείρησον, διὰ τῆς Θεοτόκου ὡς εὔσπλαγχνος.

Θεοκυῆτορ, ἡ ἐλπίς μου καὶ μόνη καταφυγὴ, ῥῦσαι τῆς ἐπικρατείας τῶν ἡδονῶν, καὶ παθῶν τῶν τυραννούντων με, παρεχομένη μοι σφαλμάτων τὴν λύσιν πρεσβείαις σου.

Ὠδὴ, η'. Λυτρωτὰ τοῦ παντός.

Ἐν γαστρί σου σκηνώσας ὁ Ὕψιστος, Οὐρανῶν πλατυτέραν σε ἔδειξε, καὶ προστασίαν ἄμαχον, τῶν βοώντων Παρθένε, πάντα τὰ ἔργα.

Ὑποκύψας ἀλόγοις τοῖς πάθεσιν, εἰς βυθὸν ἀπωλείας κατήντησα. καὶ τῆς φλογὸς ὑπέκκαυμα, ἐμαυτὸν εἰργασάμην Μῆτερ Κυρίου, ἐπιβλέψασα οἴκτειρον σῶσόν με.

Παροδεύων τοῦ βίου τὸ ἄστατον, λῃστρικοῖς λογισμοῖς περιέπεσα, καὶ πληγωθεὶς προσώζεσα, ἰατρὲ τῶν νοσούντων, δίδου μοι χεῖρα, τῆς ἀφθόρου Μητρός σου δεήσεσι.

Τὴν ψυχήν μου νοσοῦσαν θεράπευσον, καὶ τὸν νοῦν σκοτιζόμενον φώτισον, καὶ τοῦ μέλλοντος, Θεοτόκε Παρθένε, καὶ αἰωνίων ἀφορήτων βασάνων με λύτρωσαι.

Ὠδὴ, θ'. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Ταλαίπωρε στέναξον ψυχὴ, σκυθρώπασον. μετανοίας τρόπους ἔνδειξον. νῦν ἐπὶ θύραις ἡ ἡμέρα. ὁ κρίνων ἀποτόμως καθέζεται. ἑκάστῳ ἀπονέμων τὰ ἄξια, τῶν πεπραγμένων, καθὼς γέγραπται.

Μαρία Κυρία τοῦ παντὸς, παντοίοις με δουλωθέντα ἁμαρτήμασι, σὺ ἐλευθέρωσον Παρθένε, τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, αὐτὴ γὰρ ὑπὲρ λόγον ἐκύησας, τὴν οὐσιώδη ἀγαθότητα.

Οὐ κέκτημαι πράξεις ἀγαθὰς, ἐσπίλωσα τὸν χιτῶνα ὅνπερ εἴληφα, θείου Βαπτίσματος ἐνδύσει, ἐν σκότει ἀγνωσίας πορεύομαι, πρεσβείαις τῆς τεκούσης σε Κύριε, ἀπεγνωσμένον με διόρθωσον.

Φιλάγαθον τέξασα Θεὸν, φιλάγαθε Θεοτόκε, τῆς φιλίας μου τῆς πρὸς τὴν σάρκα τῆς δολίας, ἐν τάχει ἐλευθέρωσον δέομαι, καὶ δούλωσον τῷ θείῳ θελήματι, τὸν ἀμελείᾳ ἀπολλύμενον.

Στι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Στιχηρὰ Προσόμοια. Ὁ ἐξ ὕψιστου κληθείς.

Χαῖρε φωτὸς καθαρώτατον δοχεῖον. χαῖρε στῦλε πύρινε τὸν νοητὸν Ἰσραήλ, εἴσω εἰς θείαν κατάπαυσιν, εἰσάγων μόνη. χαῖρε νεφέλη τὸν μέγαν Ἥλιον, Κόσμῳ διαυγάσασα καὶ πρὸς τὸ ἄδυτον, φῶς τοὺς ἐν σκότει καθεύδοντας, τῆς ἀγνωσίας, μεταρυθμίσασα παναμώμητε. χαῖρε Παρθένε, χαῖρε πάνσεμνε. χαῖρε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. ὃν ἱκέτευε σῶσαι, καὶ.

Χαῖρε φαιδρὸν ἐνδιαίτημα Κυρίου. χαῖρε θρόνε πύρινε, χαῖρε λυχνία χρυσῆ. χαῖρε κογχύλη ἡ βάψασα, ἐκ σῶν αἱμάτων, τῷ Βασιλεῖ πορφύραν θεοΰφαντον. χαῖρε πόλις ἔμψυχε, τίμιε στέφανε, καὶ κραταιὸν περιτείχισμα, Βασιλευόντων, ἐν εὐσεβείᾳ χαῖρε ἀνίκητον. στρατευομένων θάρσος Πάναγνε. χαῖρε πύλη Θεοῦ ἀδιόδευτε. ὃν ἱκέτευε σῶσαι.

Φύσεως ὅρους καὶ νόμους ὑπερβᾶσα, τὸν Κτίστην τῆς φύσεως, ἀδιαφθόρως Ἁγνή, ἐν τῇ γαστρί σου συνέλαβες, μὴ γνοῦσα πεῖραν, ὅλως ἀνδρὸς Παρθένε ἀμόλυντε. καὶ τοῦτον ἐκύησας, εἰς σωτηρίαν βροτῶν. καὶ μετὰ τόκον διέμεινας, ὡς πρὸ τοῦ τόκου, τῆς παρθενίας σῶα τὰ σήμαντρα, διατηροῦσα, ὄντως μέγιστον, σοῦ τὸ θαῦμα καὶ ξένον καὶ ἄφραστον, καταπληκτὸν Ἀγγέλους, καὶ βροτῶν πᾶσαν διάνοιαν.

Ἵνα σου πᾶσι τὸ πλῆθος τοῦ ἐλέους, καὶ τῆς ἀγαθότητος ἀνακαλύψῃς ἡμῖν, τὸ ἀδιόριστον πέλαγος, τὰς ἁμαρτίας, τῶν οἰκετῶν σου πάσας ἐξάλειψον· ἔχεις γὰρ Παντάνασσα, ὡς Μήτηρ οὖσα Θεοῦ, τὴν ἐξουσίαν τῆς Κτίσεως, καὶ διεξάγεις, πάντα ὡς θέλεις τῇ δυναστείᾳ σου. καὶ γὰρ ἡ χάρις ἡ τοῦ Πνεύματος, τοῦ Ἁγίου σαφῶς ἐνοικοῦσα ἐν σοί, συνεργεῖ σοι ἐν πᾶσιν, ἀεννάως παμμακάριστε.

ΤΗ͂ ΔΕΥΤΕ΄ΡΑ, Ε΄ΣΠΕ΄ΡΑΣ,

ΚΑΝΩ͂Ν ΕΙ͗Σ ΤΗ͂Ν

# ΥΠΕΡΑΓΙ΄ΑΝ ΘΕΟΤΟ΄ΚΟΝ.

Ὠδὴ, ά. ἦχος, δ΄. Ἀνοίξω τὸ στόμα μου.

Ἀπάσης γυμνούμενοι, τῆς ἐκ τῶν ἔργων Παναμώμητε, βοηθείας ἅπαντες ἐν περιστάσεσιν, εἰς βοήθειαν τὴν ὄντως ἀσφαλῆ σου, ἀεὶ καταφεύγοντες διασωζόμεθα.

Γαλήνην ἐν κλύδωνι, τῶν πειρασμῶν σε παρέθετο, καὶ θείαν κυβέρνησιν ἐν τε κυμίαις παθῶν, ὁ δοξάσας σε, διὸ πρὸς εὐφροσύνης, λιμένας τοὺς δούλους σου, ἐγκαθορμίζεις Ἁγνή.

Ἐπλή-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Βιβλιοθήκη Μηλεών

Ε'Πλήγην ὁ δείλαιος, τῆς ἁμαρτίας τοῖς βέλεσι, καὶ νῦν κατακέκλιμαι ἐν κλίνῃ Δέσποινα ἀπογνώσεως, εἰς θάνατον φερούσης, καὶ ᾅδην ψυχόλεθρον, ὧν με ἐξάρπασον.

Ε'Κόμισε Πάναγνε, ὁ Γαβριὴλ σοι ἀντίθετον, ἀρᾶς τῆς προμήτορος ἐξ Οὐρανοῦ ἀσπασμόν. σὺ γὰρ ἔτεκες, ἡμῖν τὴν εὐλογίαν, καὶ πᾶσιν ἐπήγασας χαρὰν αἰώνιον.

Ὠδὴ, γ'. Τοὺς σοὺς ὑμνολόγους.

Σ'Πλαγχνίσθητι μόνη Θεομήτωρ, ἐλέησον οἴκτειρον ψυχὴν, ἐν σάλῳ κινδυνεύουσαν, παθῶν σαρκὸς καὶ πνεύματος, καὶ ὡς φιλόπαις πρόφθασον, ῥύουσα ταύτην ἰσχύϊ σου.

Η'Τῶν φαινομένων με ἀπάτη, τῆς τῶν ἀφανῶν καὶ ἀπλανῶν, ἀγάπης ὑπεξάγουσα, εἰς λυπηρὰ συνέκλεισεν, ὧν τὴν ζωήν μου Πάναγνε, ταῖς σαῖς πρεσβείαις ἐξάρπασον.

ΤΗ͂ παρεκτροπῇ τῶν ἐντολῶν σου, εἰς βάθη κατέπεσα δεινῶς, καὶ χαλεπαὶ συνέχουσιν ὀδύναι με τῶν θλίψεων, ἐξ ὧν με ῥῦσαι Κύριε, ταῖς τῆς Μητρός σου δεήσεσι.

Ρ'Ημάτων Παρθένε μεμνημένοι, τοῦ θείου Ἀγγέλου ἐν χαρᾷ· χαῖρε σεμνὴ βοῶμέν σοι. χαῖρε Ἀδὰμ ἀνόρθωσις. χαῖρε τῆς Εὔας λύτρωσις· χαῖρε Πιστῶν τὸ διάσωσμα.

Ὠδὴ, δ'. Τὴν ἀνεξιχνίαστον.

Ρ'Ώμην ἀσθενοῦσί σε ὁ δυνατὸς, καὶ ἀπεγνωσμένων παράκλησιν, τοῖς ἀθυμοῦσιν, εὐθυμίαν καὶ χαρὰν, τοῖς θλιβομένοις δέδωκε, καὶ πλοῦτον πτωχοῖς Θεονύμφευτε.

Σ'Κέπη καὶ ἀντίληψις καὶ προσφυγὴ, γενοῦ μοι Παρθένε τῷ δούλῳ σου, καὶ λύτρωσαί με, τῶν ἀμέτρων μου κακῶν, ὅπως σου τὰ θαυμάσια, κηρύξω πᾶσι τοῖς πέρασιν.

Α'Πορῶν δακρύων τε καὶ στεναγμῶν, ἐκ τῆς τῶν παθῶν μου πωρώσεως, σὲ ἱκετεύω, τοῦ ἐλέους τὴν πηγὴν, τῶν ὀδυνῶν με λύτρωσαι, ἄγουσα πρὸς θείαν κατάνυξιν.

Σ'Ε' τὸ ἱλαστήριον πάντων βροτῶν, πίστει ἱκετεύω καὶ δέομαι, εὐλογημένη, ἵλεών μοι τὸν Κριτὴν, ἐν ἡμέρᾳ τῆς Κρίσεως, ποίησον ταῖς σαῖς παρακλήσεσιν.

Ὠδὴ, ε'. Ἐξέστη τὰ σύμπαντα.

Ρ'Είθροις κατανύξεως, τοὺς ῥύπους τῆς καρδίας μου, Ἄχραντε ἀπόπλυνον Παρθένε, καὶ μετανοίας τρόπους μοι δώρησαι, ταῖς πρὸς τὸν οἰκτίρμονα Θεὸν, ἱεραῖς δεήσεσιν, ὃν ἀῤῥήτως ἐκύησας.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΜΗ῀ παύσῃ πρεσβεύουσα, Θεὸν, ὃν ἐσωμάτωσας, Κόρη ὡς Σωτῆρα καὶ Δεσπότην, λύσιν δωρῆσαι τῶν ἐπταισμένων μοι, καὶ πρὸς τὴν ἀρχαίαν ἀγαγεῖν, αὖθις εὐφροσύνην με, ἣν ἀφρόνως ἀπώλεσα.

ΣΟφίαν ἐκύησας, Θεοῦ τὴν ἐνυπόστατον, σαρκὶ καθ᾽ ὑπόστασιν Παρθένε, τὸν ἑνωθέντα Λόγον προανάρχον, ἐπ᾽ ἐσχάτων τούτων ἡμερῶν, ἐξ ἁγνῶν αἱμάτων σου, εἰς τὸ σῶσαι τὸν ἄνθρωπον.

ΓΝωρίσαι τὴν ἄφατον, Ἁγνὴ αὐτοῦ χρηστότητα, θέλων ὁ ἐκ σοῦ σεσαρκωμένος, σὲ μεσιτείαν ἡμῖν παρέσχετο, ἀεὶ καταλλάττουσαν αὐτῷ, διὰ τῆς πρεσβείας σου, τοὺς αὐτὸν παροργίζοντας.

Ὠδὴ, ς΄. Τὴν θείαν ταύτην καὶ πάντιμον.

ΓΕνοῦ μοι Πάναγνε Δέσποινα, γαλήνη καὶ λιμὴν παρακλήσεως, διαβιβάζουσα, πρὸς θεῖον ὅρμον ἀκύμαντον, τὴν ζάλην τῶν παθῶν μου καταπραΰνουσα.

ἘΝ σοὶ Παρθένε καυχώμεθα, ἐν σοὶ τῶν δυσχερῶν ἐκλυτρούμεθα, τῇ πεποιθήσει σου, ἐπιδρομὰς οὐ πτοούμεθα, τῶν δυσμενῶν βαρβάρων οἱ ἀνυμνοῦντές σε,

ΤΗ῀ν σὴν παράσχου βοήθειαν, καὶ ῥῦσαί με κινδύνων καὶ θλίψεων, ἐκλυτρουμένη με, τῶν ὀδυνῶν καὶ πταισμάτων μου, ἡ τοῦ παντὸς τεκοῦσα τὴν ἀπολύτρωσιν.

ἸΔεῖν τὴν δόξαν τοῦ τόκου σου, οἱ νῦν ἀξιωθέντες Πανάχραντε, ἀξιωθείημεν, ἀπολαυεῖν ἐκτυπώτερον, αὐτοῦ τῆς μετουσίας ταῖς ἱκεσίαις σου.

Κάθισμα. Ταχὺ προκατάλαβε.

ΔΑκρύων μοι δώρησαι, τῆς μετανοίας πηγὰς, δι᾽ ὧν τοὺς τοῦ σώματος, καὶ τῆς ψυχῆς λογισμοὺς, ἐκπλύνω Πανάμωμε· καὶ τῆς ἐπιθυμίας, τῆς ἀτόπου τὴν φλόγα, τέλεον ἀποσβέσω, καὶ φλογὸς τῆς γεέννης, λυτρωθῶ ὁ παντλήμων ταῖς ἱκεσίαις σου.

Ὠδὴ, ζ΄. Οὐκ ἐλάτρευσαν.

ῬΩ῀σιν ἄνοσον, Παρθένε σὺ παρέσχετο, τοῖς ἀσθενοῦσιν ἡμῖν, ὁ ἰατρὸς τῶν ψυχῶν, καὶ σωμάτων Κύριος ὡς θεραπεύουσαν, τοὺς κραυγάζοντας, εὐλογημένος Πάναγνε ὁ καρπὸς τῆς σῆς κοιλίας.

ΜΕτεσχημάτισται, τοῖς ἔργοις τοῖς ἀτόποις μου, καὶ τοῖς βουλεύμασιν, ἡ τῆς παρούσης ζωῆς, χαρὰ εἰς κατήφειαν καὶ ταπεινότητα. ἀλλ᾽ ἡ πρόξενος, τῆς ἀληθοῦς χαρᾶς Ἁγνὴ, τὴν σὴν δός μοι εὐφροσύνην,

ΖΕνωθέντας τοῦ Θεοῦ ἀπάτῃ ὄφεως, βροτοὺς Θεονύμφε, ἀνεκαλέσω, Θεὸν, βροτωθέντα τέξασα ἐκ τῶν αἱμάτων σου. ὁ ἦν μείναντα, καὶ ὃ οὐκ ἦν γενόμενον, διὸ πάντες σε ὑμνοῦμεν.

Γαμά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Βιβλιοθήκη Μηλεών

Ι'Αμάτων σε πηγὴν οἱ ξηραινόμενοι, παθῶν νοσήμασι, γινώσκοντες ἀληθῶς, ἀντλοῦμεν σωτήρια ϗ θεῖα νάματα, ϗ δοξάζομεν, τὸν Κύριον γεραίροντες, τὰ πολλά σου μεγαλεῖα.

Ὠδὴ, ή. Παῖδας εὐαγεῖς.

Υ'Πὸ τῆς αὐτοῦ φιλανθρωπίας, καὶ μόνης ὑπεραπείρου ἀγαθότητος, ὁ Κτίσης καμπτόμενος, διὰ σοῦ ἐπέφανε, τοῖς ἐπὶ γῆς Πανύμνητε, σάρκα λαβόμενος, ϗ πάλιν διὰ σοῦ οἰκειοῦται, πάντας τοὺς ὑμνοῦντας ἀεί σε Θεοτόκον.

Χ Εἶρας ἐκτενῶς ἐπανατείνω, ϗ ὄμματα τῆς ψυχῆς μου πρὸς σὲ Δέσποινα, ὅλος συνεχόμενος, ταῖς ποικίλαις θλίψεσι, ϗ τὴν θερμὴν ἀντίληψιν σου προσκαλούμενος, διὸ ἐν ἀμηχάνοις τὸν πλοῦτον, δεῖξον Θεοτόκε τῆς σῆς φιλανθρωπίας.

Ν Ό'μους εὐαγεῖς σου παραβάντες, ἀνόμως τοῖς πολεμίοις παρεδόθημεν, ψυχῇ τε καὶ σώματι, ἀλλ' ὡς ἀγαθώτατος, καὶ ἰσχυρὸς κατάβαλε τούτους φιλάνθρωπε, πρεσβείαις τῆς ἀφθόρου Μητρός σου, ϗ τῶν Ἀποστόλων καὶ πάντων τῶν Ἁγίων.

Α 'Γίων εἰς Ἅγια ταφεῖσα, Ἁγίων τὸν Ὑπεράγιον γεγέννηκας, Ἁγία Θεόνυμφε, ὅθεν ἐν ἁγίαις σοι, φωναῖς πάντες κραυγάζομεν. χαῖρε Μητρόθεε, Ἁγία Θεοτόκε Παρθένε· χαῖρε τῶν Ἁγίων Ἀγγέλων χαρμοσύνη.

Ὠδὴ, θ'. Ἅπας γηγενής.

Φ Ὤτισον Ἁγνὴ, ψυχῆς μου τὰ ὄμματα καὶ τὰ νοήματα, μὴ καταλαβέτω με, τῆς ἁμαρτίας σκότος βαθύτατον, μηδὲ βυθὸς καλύψῃ με τῆς ἀπογνώσεως· ἀλλ' αὐτή με σῶσον ϗ κυβέρνησον, προστασία πιστῶν ἀκαταίσχυντε.

Ο "Λος γεγονὼς, δι' ὅλου κατάστικτος ταῖς παραβάσεσιν, ἐν ἀρρήτοις πράξεσι, ϗ βδελυξίαις, σοῦ τὴν βοήθειαν, ἐπικαλοῦμαι Δέσποινα, ϗ τὴν ἀντίληψιν, τὴν ταχεῖαν, πάντων λυτρουμένη με, τῶν δεινῶν πειρασμῶν καὶ τῶν θλίψεων.

Ρ 'Ύσασθαι Χριστὲ, ἡμᾶς παραγέγονας δι' ἀγαθότητα, οὐκ ἐξ ἔργων ἔχοντες, δικαιοσύνης τὴν παῤῥησίαν πρός σε, ἀλλ' ἐκ τῆς μόνης Κύριε φιλανθρωπίας σου· διὰ τοῦτο, δωρεὰν αἰτούμεθα, ταῖς Λιταῖς τῆς Μητρός σου τὴν ἄφεσιν.

Σ Ὥσόν με Ἁγνὴ, τὸν ἀχρεῖον δοῦλόν σου πίστει σοι κράζοντα. χαῖρε οἰκητήριον, τοῦ Βασιλέως Χριστοῦ Παναμώμε. χαῖρε ἡ θεία Τράπεζα Ἄρτον βαστάσασα, ζωῆς Κόρη. χαῖρε Βάτε ἄφλεκτε. χαῖρε πύλη Θεοῦ ἀδιόδευτε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Στιχηρὰ Προσόμοια. Ἔδωκας σημείωσιν.

ΟΡθρος φαεινότατος, χαῖρε πιστοῖς τὸν ἀνέσπερον, ἀνατείλασα Ἥλιον. χαῖρε βάθος ἄμετρον, ἀπόρρητον ὕψος, φρικτὸν μυστήριον· χαῖρε Ἀγγέλων χαρμονή. χαῖρε φλογμὸν ἀπάτης ἡ σβέσασα. τοῦ ᾅδου χαῖρε νέκρωσις, τῶν προπατόρων ἀνόρθωσις, τοῦ Ἀδὰμ ἡ ἀνάκλησις, καὶ τῆς Εὔας ἡ λύτρωσις.

ΚΛαίω καὶ ὀδύρομαι, τῶν πειρασμῶν ἀγριαίνουσαν, κατ᾽ ἐμοῦ δεινὴν κάμινον, ὁρῶν ὁ πανάθλιος. ἀλλὰ σὺ Παρθένε, τῇ σῇ εὐσπλαγχνίᾳ, μή με παρίδῃς ἀγαθή. μὴ ἀπορρίψῃς με τὸν ἀνάξιον. χαρᾶς δὲ τὴν καρδίαν μου, πλῆσον χαρὰν ἡ κυήσασα. μὴ βυθός με τῶν θλίψεων καταπίῃ τὸν δείλαιον.

ΠΑ͂σαν τὴν ἐλπίδα μου, ὁ δυστυχὴς καὶ πανάθλιος, ἐπὶ σὲ ἀνατίθημι, Πανάχραντε Δέσποινα, ὁλοψύχῳ νεύσει. μή με ἀπορρίψῃς, ἀπὸ προσώπου σου Ἁγνή. μηδὲ βδελύξῃ με τὸν ἀνάξιον. μὴ σπλάγχνα τὰ φιλάνθρωπα κλείσῃς μοι Μῆτερ ἀπειράνδρε. ὅτι ἄλλην οὐ κέκτημαι, προστασίαν ὁ δοῦλός σου.

ΧΑῖρε τιμαλφέστατον, τοῦ Βασιλέως παλάτιον. χαῖρε Νύμφη ἀκήρατε. χαῖρε βάτε ἄφλεκτε. χαῖρε θεία κλίνη. χαῖρε προστασία, τῶν πεποιθότων ἐπὶ σοί, χαῖρε Κυρία πάσης τῆς Κτίσεως· χρυσοῦν θυμιατήριον, χαῖρε πανθαύμαστε Δέσποινα. χαῖρε θεῖε Παράδεισε, ζωῆς ξύλον βαστάσασα.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂Ι ΚΥΡΙΑΚΗ͂Ι

## ἙΣΠΕΡΑΣ, ΚΑΝΩ͂Ν ΕἸΣ ΤΗ͂Ν ὙΠΕΡΑΓΙ΄ΑΝ ΘΕΟΤΟ΄ΚΟΝ.

Ἦχος, πλ. Α΄.

Ὠδὴ, ά. Ἵππον καὶ ἀναβάτην.

ΣΤΟ΄ΜΑΤΙ τε καὶ γλώσσῃ, καὶ λογισμῷ καὶ ψυχῇ, καὶ ἐν ὅλῃ καρδίᾳ, καὶ πάσῃ διανοίᾳ μου, Θεοῦ τε λοχεύτειαν καὶ Παρθένον ἄμωμον, Παναγία ἀνακηρύττω σε.

ΣΩ͂μα καθηγνισμένον, καὶ Παναγίαν ψυχὴν, κεκτημένη Παρθένε, ἁγίως τὸν Πανάγιον, Θεὸν ὑποδέξασθαι, Πνεύματος ἐπελεύσει, καὶ εὐδοκίᾳ Πατρὸς ἠξίωσαι.

ὍΛος κατεγνωσμένος, τοῖς πταίσμασιν ὁ δεινὸς, καὶ τῇ κρίσει ὑπάρχων ὑπόδικος, σοῦ δέομαι Παρθένε Πανάμωμε, θείας με ἀξίωσον, σωτηρίας ταῖς ἱκεσίαις σου.

ὍΛος γεγυμνωμένος, ὑπάρχων ἔργων χρηστῶν, ἐνεδύθην κακίας καὶ ἀσωτίας ἔνδυμα, ὅπερ με ἀπόδυσον Θεοτόκε, τὴν εὐσπλαγχνίαν σου ἀμφιάσασα.

Ὠδὴ, γ΄. Ὁ πήξας ἐπ᾽ οὐδενός.

ΜΕγάλη ἡ συντριβὴ, καὶ ἀπαραμύθητος, ἡ στενοχωρία ἀνεκδιήγητος, θλίψις καὶ ἀνάγκη φοβερὰ, ψυχῆς χωριζομένης, τῆς συναφείας τῆς τοῦ σώματος, ἀνελεημόνως, βιαίως τε.

ἘΝ τρόμῳ παρισαμένων, ἀΰλων τάξεων, καθεζομένου Χριστοῦ Κριτοῦ φοβεροῦ θρόνῳ ἐπηρμένῳ καὶ φρικτῷ, χειμάῤῥου δὲ πυρίνου, ῥοιζηδὸν κάτωθεν ὑφέρποντος, τίς οὐκ ἐκπλαγείη καὶ πτήξειεν;

ΣΤενάζω καὶ ὀδυρμοῖς, καὶ θρήνοις συγκόπτομαι, καὶ ῥομφαίᾳ λύπης κατασπαράσσομαι, κλαίω καὶ δακρύω καὶ πενθῶ, τὴν φλόγα τῆς γεέννης, σκιαγραφῶν ἐν τῇ καρδίᾳ μου, ἧς τὴν πεῖραν φύγοιμι Δέσποινα.

Ὡραία

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὡραία τῶν ἀρετῶν, τῷ κάλλει γεγενῆσαι, καὶ ψυχὴν καὶ σῶμα Θεοφυνήξια. διὸ καὶ ἐγέννησας Υἱὸν, ὡραῖον παρὰ πάντας ὑιοὺς βροτῶν τὸν τοῖς ἄνθεσι, τὴν γῆν θαυμαστῶς ὡραΐσαντα.

Ὠδὴ, δ΄. Τὴν θείαν ἐννοήσας σε κένωσιν.

Ἐλέησον, συμπάθησον οἴκτειρον, τὴν παναθλίαν μου ψυχὴν, Θεὸν ἐλέους ἡ τέξασα, πηγὴν ἐλεημοσύνης, καὶ θείας συμπαθείας τὴν ἄβυσσον.

Ἰδοῦσα με ἱλέῳ σου ὄμματι, σπλαγχνίσθητι καὶ ἱλασμὸν, ἁμαρτημάτων μοι δώρησαι, τὸν ἱλασμὸν τῶν ψυχῶν γὰρ, τὸν ἵλεων Δεσπότην ἐκύησας.

Συνάφειαν ἀνδρὸς ἀγνοήσασα, ὡς καθαρὰ τὸν καθαρὸν Χριστὸν Παρθένε ἐκύησας, ὅνπερ με σῇ εὐπροσδέκτῳ, ἱκεσίᾳ εὐσπλάγχνως καταλλαξον.

Ἀσπίδων ψυχολέθρων καὶ ὄφεων, ὀδόντας σύντριψον Ἁγνὴ, ἠκονημένους εἰς θάνατον, καὶ τῶν λεόντων τὰς μύλας, ζητούντων καταβρῶσαι με σύνθλασον.

Ὠδὴ, έ. Ὁ ἀναβαλλόμενος.

Κλαίειν καὶ δακρύειν με, Δέσποινα δίδαξον, πενθεῖν καὶ στένειν ἀπὸ καρδίας, καὶ κλαυθμῶν με λύτρωσαι, τῶν ἀνωφελῶν καὶ ἀπαραλλήτων ὕστερον.

Ὁ Πυριφλεγέθων σε, σωφρονιζέτω ψυχὴ, παφλάζων ῥύαξ καὶ τῶν ὀδόντων, ὁ βρυγμὸς φοβείτω σε, καὶ ὁ ἀφεγγὴς πυθμὴν ἅδου συστελλέτω σε.

Ὁ Χριστὸς ὑπέσχετο, ψυχὴ ἐλθεῖν σὺν Πατρὶ, ἐν σοὶ τοῦ μεῖναι καὶ ἐνοικῆσαι, τοίνυν διορθώθητι, ἑτοιμάσαι τούτοις ἄξιον καταγώγιον.

Ἦλθον εἰς ἀπόγνωσιν, ἐξ ἀθυμίας πολλῆς, κατανοῶν μου τὰ τῶν πταισμάτων πλήθη τὰ ἀμέτρητα, Δέσποινα τοῦ Κόσμου Σύ μου γενοῦ βοήθεια.

Ὠδὴ, ϛ΄. Μαινομένην κλύδωνι.

Ἐπὶ τῆς ἐτάσεως, τῆς φρικώδους καὶ ὀδυνηρᾶς, μὴ ἐγκαταλίπῃς ἀπροστάτευτον, ἀλλά με σαῖς, εὐχαῖς διάσωσον Δέσποινα.

Στεναγμοῖς καὶ δάκρυσι, σοὶ προσπίπτω κράζων ἐκτενῶς· Παναγία Δέσποινα βοήθει μοι, μὴ παντελὴς ἀπώλεια καταλάβῃ με.

Ἀθεμίτοις πράξεσι, κατεχράνθην σῶμα καὶ ψυχὴν, καὶ τοῖς πᾶσιν ὤφθην ἀποτρόπαιος, Θεοτόκε σύ με ἐλέησον τὸν πανάθλιον.

Ὡς ἀκαταμάχητος, συμμαχία τῶν Χριστιανῶν, καὶ ἐλπὶς καὶ σκέπη καὶ ἀντίληψις, καὶ προσφυγὴ, σὺ προσφυγόντα με σκέπασον.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Κοντάκιον. Τὸν συνάναρχον Λόγον.

ἘΝ πελάγει τοῦ βίου κλυδωνιζόμενος, καὶ μερίμναις γηΐναις περιαντλούμενος, καὶ συμπνιγόμενος τὸν νοῦν, τὴν σὴν βοήθειαν, ἐπικαλοῦμαι ἐκ ψυχῆς, ἐπιταχύνασα λοιπὸν, κυβέρνησον καὶ πρὸς ὅρμον, εἰσάγαγε μετανοίας, ἵνα ὑμνῶσε Παρθένε Ἄχραντε.

Ὠδὴ, ζ'. Οἱ ὑπερυψούμενος.

ΕΥ῾ροιμί σε Δέσποινα κραταιὰν βοήθειαν, ἐν ὥρᾳ τῆς Κρίσεως, καὶ πρέσβιν ἀπρόσδεκτον, ἀντίληψιν ἑτοίμην, λυτρουμένην με βασάνων.

Ῥ'Εῖθρα μοι ἀφέσεως, τῶν πταισμάτων ὄμβρησον, πηγὴ ζῶντος ὕδατος, νεφέλη Θεόδροσε, κρήνη ἀθανασίας ἀκενώτως κενουμένη.

Ὁ Ἀπειροδύναμος τῶν ἁπάντων Κύριος, ἡμέραν ἐπάσεως, καὶ Κρίσεως ἔστησεν, ἐν ᾗ κρινεῖ τὰ πάντα, μετανόησον ψυχή μου.

Υ῞Ψισον στεγάζοντα, ὑπερῷα ὕδασι, γεννήσασα δίδου μοι, ἑκάστοτε Δέσποινα, νιφάδας ὑετίζειν, συνεχῶν θερμῶν δακρύων.

Ὠδὴ, η'. Σοὶ τῷ παντουργῷ.

Ὥ῞Ραν τὴν φρικτὴν, καὶ φοβερὰν ἡμέραν, ἀναλογιζόμενος Ἁγνὴ τῆς Κρίσεως, φρίκης ἐμπίπλαμαι καὶ σκοτοδινίας, καὶ ἰλιγγιᾷ μου τὸ πνεῦμα πρὸ τῆς ὥρας.

ΑἼρω τὴν φωνὴν, μετὰ κλαυθμοῦ σοι κράζων, οἶνον κατανύξεως Ἁγνή με πότισον, ἄρτον δακρύων ἐνταῦθα ἔμπλησόν με, ἵνα μὴ ἐκεῖσε πεινάσω καὶ διψήσω.

Δ Ἀκρυά μοι δὸς, Παρθένε Θεοτόκε, ἵνα μου τὸν βόρβορον καὶ τὰ μιάσματα, πάντα ἐκπλύνω τῶν δεινῶν ἐγκλημάτων, καὶ ἐξιλεώσω τὸν εὔσπλαγχνον Δεσπότην.

Ὦ Χριστιανῶν, βεβαία προστασία, ὢ πάντων διάσωσμα τῶν προστρεχόντων σοι, σύ με καὶ ζῶντα φρούρησον Θεοτόκε, καὶ μετὰ τὸ τέλος ἀνάπαυσιν παράσχου.

Ὠδὴ, θ'. Ἡσαΐα χόρευε.

ΝΑὸν τὸν τοῦ σώματος, διαφθείρας ἄξιος φθορᾶς, κατέστην ὡς τὸν ναὸν φθείρας τοῦ Θεοῦ, καὶ τοῦτο τὰ ἅγια, πεποιηκὼς μέλη καὶ σεπτὰ, πόρνης ὁ δείλαιος, ἀκολάστου μέλη βέβηλα.

ΔΙχοτομηθῆναί με, μὴ ἐάσῃς τὸν ὑποκριτὴν, ἡ τέξασα Κριτὴν πάντων καὶ Θεὸν, πάσης ὑποκρίσεως, καὶ συστροφῆς ὑποκριτικῆς, ῥῦσαι καὶ δεῖξόν με ἐν τῇ Κρίσει ἀκατάκριτον.

ὉΛικῶς ἀνέθηκα, σοὶ Παρθένε ὅλον ἐμαυτόν. ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν, ἐλέησον οἰκτειρον, δοῦλον τὸν σὸν, τὸν ἀπὸ ψυχῆς, σοῦ τὸ Πανάγιον ἀγαπῶντα θεῖον Ὄνομα.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΝΟερῶς προσπίπτω σοι, παναμώμητε ὁ ἐναγής, καὶ ἐξόμωσου τῶν Ἁγνῶν ἅπτομαι ποδῶν, συγκάμπτων τὰ γόνατα τὰ τῆς ψυχῆς, καὶ ἀναβοῶν, Δέσποινα Δέσποινα, οἴκτειρόν με τὸν κατάκειτον.

Στιχηρὰ Προσόμοια. Χαίροις ἀσκητικῶν ἀληθῶς.

ῬΑ͂νον τῆς ἀπαθείας ἡδὺ, καὶ διειδές μοι θεῖον ὕδωρ Πανάχραντε. ἐξ οὗ με πότισον νᾶμα, τῆς ἀφθαρσίας Ἁγνή, τὸν αὐχμὸν τακέντα θείων πράξεων. πρὸς σὲ τῆς ζωῆς μου γάρ, ἀνέθεμαι τὴν πρόνοιαν. καὶ τῆς μελλούσης σωτηρίας ἀνάρτησαι, τὰς ἐλπίδας μου, τῇ πανσέπτῳ σου χάριτι. πλυνόν με κατανύξεως, τοῖς δάκρυσιν ὅπως μοι, τῶν ἐγκλημάτων τὴν λύσιν, ὁ ἐλεήμων δωρήσηται, καὶ τῆς ἀνεκφράστου, εὐφροσύνης ἀξιώσῃ τῇ μεσιτείᾳ σου.

ὌΝτως Θεοῦ τὰς χεῖρας φυγεῖν, οὐδεὶς ἀνθρώπων ἐξισχύσει ὡς γέγραπται, οὐ πόρνος, οὐ βέβηλός τις, μοιχὸς οὐ κλέπτης λῃστής, ἀλαζὼν οὐκ ἄλλος τις παράνομος, οὐ μὴν ἀλλ' οὐδέ τις, ἐν ἀμελείᾳ διέζησεν, ἢ μῖσος ἔσχε πρὸς τὸν ἔγγιστα ἄδικον, ἢ ἐλάλησε, καὶ ψυχὴν τινὸς ἔπληξε. τούτοις πᾶσι τοῖς κρίμασιν, ἐγὼ ὑποκείμενος, καὶ ἄλλοις πλείστοις ὑπάρχων, ὁ ἐναγὴς καὶ παμμίαρος, πρὸς σὲ καταφεύγω, Θεοτόκε σύ με σῶσον ἐξαπορούμενον.

ΛΟγους οὕσπερ προσφέρω σοι νῦν, οἷς τὴν ζωήν μου ταλανίζω σὺν δάκρυσι, τὴν πάσης ἀξίαν οὖσαν, καὶ θρηνῳδίας Σωτὴρ, καὶ τῆς ὑπὲρ πάντων κατακρίσεως, ψυχῆς ὡς ποτήριον, εὐμενέστατον πρόσδεξαι. ὡς τοῦ τελώνου, στεναγμὸν τὸν βραχύτατον, καὶ τὰ δάκρυα, τὰ τῆς πόρνης ὡς εὔσπλαγχνος, ὥσπερ λῃστοῦ τὴν δέησιν, καὶ τὴν ἐξαγόρευσιν, τοῦ Μανασσῆ καὶ ἀσώτου, ἐπιστροφὴν τὴν σωτήριον, καλῶς ὁδηγῶν με, καὶ ἀεὶ δωρούμενός μοι τὸ μέγα ἔλεος.

ΧΑίροις ἡ κεκλεισμένην ἡμῖν, Παρθενομήτωρ τὴν Ἐδὲμ διανοίξασα, Λυχνία ἡ φωσφόρος, καὶ θεοφόρος Σκηνή, τῶν μητέρων χαῖρε τὸ κειμήλιον, Σεμνὴ καὶ Παρθένων, τὸ ἐξοχώτατον ἄκουσμα. χαῖρε Παρθένε, δι' ἧς ᾅδης νενέκρωται, καὶ ὁ θάνατος ἠφανίσθη καὶ σέσωσται, Εὔα τῆς κατακρίσεως, καὶ πάσης κακώσεως. χαῖρε χαρᾶς ἡ αἰτία, χαῖρε τοῦ πένθους ἀναίρεσις, Θεοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂ι ΔΕΥΤΕΡΑ͂ι ΕΣΠΕΡΑΣ,

## ΚΑΝΩ͂Ν ΕἸΣ ΤῊΝ ὙΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

Ὠδὴ, α'. ἦχος, πλ. α'. Τῷ Σωτῆρι Θεῷ.

Ὁ Σωτήρ μου Χριστὸς, ὁ δι' ἐμὲ κατ' ἐμὲ, δι' εὐσπλαγχνίαν ἀδιήγητον, καταδεξάμενος γενέσθαι ἐκ Παρθένου Μητρὸς, αὐτῆς ταῖς πρεσβείαις ἐλέησον καὶ σῶσόν με.

Ἱερᾶς ἐκπεσὼν, διαγωγῆς καὶ ζωῆς, καὶ μακαρίας ἀπολαύσεως, καὶ Παραδείσου τῆς τρυφῆς, ῥιφεὶς κατῴκησα, ζωὴν πρὸς ἐπώδυνον καὶ πολυστένακτον.

Κεκυφότα πρὸς γῆν, τῷ δυσαχθεῖ καὶ βαρεῖ, τῶν ἐγκλημάτων μου κλοιῷ Δέσποτα, καὶ τῷ ζυγῷ τῆς ἁμαρτίας κεκμηκότα με, λιταῖς τῆς Μητρός σου κούφισον καὶ σῶσόν με.

Ῥυπαροῖς λογισμοῖς, καὶ ἐμπαθέσιν ὁρμαῖς, μεμολυσμένην τὴν καρδίαν μου, ἡ καθαρὰ καὶ ἱερὰ καὶ Παναμώλυντος, ἁγίασον, ἅγνισον, κάθαρον Δέσποινα.

Ὠδὴ, γ'. Δυνάμει τοῦ Σταυροῦ σου Χριστέ.

Αἱ πράξεις ἃς εἰργάσω ψυχὴ, καταβοῶν σου πικρῶς μέλλουσιν, ὥσπερ κατήγοροι ἄσπονδοι, διὸ σπεῦσον μετανόησον.

Δακρύων τοῖς ἐμοῖς ὀφθαλμοῖς, πηγὰς παράσχου Πανάχραντε, ἵνα θρηνήσω ὁ δείλαιος, τὴν πληθὺν τῶν ἐγκλημάτων μου.

Ἐλέησον ἀθλίαν ψυχὴν, ἀπορουμένην καὶ προσφεύγουσαν, ἐν τῷ ἐλέει σου Δέσποτα, ἱκεσίαις τῆς τεκούσης σε.

Ἡνίκα τοῦ δεσμοῦ τῆς σαρκὸς, ἡ ψυχὴ βιαίως χωρίζεται, νεύσει Θεοῦ τοῦ συνδήσαντος, βοηθός μου Κόρη πάρεσο.

Ὠδὴ δ'. Εἰσακήκοα τὴν ἀκοήν.

Ποίαν εὕρω ὁ τάλας ἀπολογίαν ἐν ὥρᾳ τῆς ἐτάσεως, ἡνίκα τῷ Κριτῇ παριστάμεθα, τότε σῶσόν με ταῖς παρακλήσεσιν.

Ὡς ὀμβρήσασα τῶν οἰκτιρμῶν τὴν ἀδαπάνητον πηγὴν, τὴν αὐχμῶσαν μου καρδίαν, καὶ ξηρὰν Ὑπεράμωμε, δάκρυσιν ὡς ὕδασιν ἄρδευσον.

ΜΕτανοίας ὁ παρὼν καιρὸς, καὶ ἐργασίας ἀρετῶν, ὁ δὲ μέλλων ἀμοιβῶν καὶ δωρεῶν καὶ κολάσεων, ῥῦσαι τῆς ἐσχάτων με Δέσποινα.

ΣΥντριβέντα με ὡς κεραμέως Ἁγνὴ σκεῦος χοϊκὸν, πλαστουργὸν καὶ κεραμέα τῶν βροτῶν ὡς γεννήσασα, καίνισον, ἀνάπλασον, σῶσόν με.

Ὠδὴ, ε΄. Ὀρθρίζοντες βοῶμέν σοι Κύριε.

Ῥυπτήριον παράσχου μοι δάκρυον, Θεοτόκε γεέννης σβεστήριον, καὶ τῶν χρεῶν μου λυτήριον.

Ψυχὴ πολυαμάρτητε θρήνησον, πρὸ τοῦ τέλους σεαυτὴν καὶ πένθησον, ἵνα εὑρήσῃς παράκλησιν.

Ὁ Φύσει ἀγαθὸς καὶ φιλάνθρωπος, ὁ Σωτήρ μου σῶσόν με τὸν ἄσωτον, τῆς Θεοτόκου δεήσεσιν.

Ὑπέκκαυμα πυρὸς γεγονυῖάν με, μὴ ἐάσῃς, τὸ Πῦρ τῆς Θεότητος, ἀκαταφλέκτως ἡ τέξασα.

Ὠδὴ, ς΄. Ἐκύκλωσέ με ἄβυσσος.

ἘΝ ὥρᾳ τῆς ἐτάσεως, τῆς φρικτῆς καὶ ἀνταποδόσεως, ἐν ᾗ μέλλω κρίνεσθαι, ὁ αὐτοκατάκριτος, συντήρησόν με Παρθένε ἀκατάκριτον.

Ῥανίδα τοῦ ἐλέους σου, σταγόνα τῆς φιλανθρωπίας σου, καὶ τῆς εὐσπλαγχνίας σου, ψεκάδα δροσίζουσαν, ἐπίσταξόν μοι, καὶ σῶσόν με Πανύμνητε.

Ἱλάσθητι φιλάνθρωπε, πρεσβείαις τῆς ἁγνῶς τεκούσης σε, καὶ ῥῦσαι τὸν δοῦλόν σου, ἀπὸ πάσης θλίψεως, καὶ αἰωνίου με δόξης καταξίωσον.

Ἐκύκλωσέ με ἄβυσσος, πταισμάτων εἰς βυθὸν καθέλκουσα, Ἁγνὴ ἀπογνώσεως, δέομαι ἀνάγαγε, ἐκ κατωτάτου ᾅδου τὸν σὲ δοξάζοντα.

Κάθισμα. Τὸν συνάναρχον Λόγον.

ἽΝα τί ῥαθυμοῦσα ψυχὴ ταλαίπωρε, ἐπελάθου Δεσπότου τοῦ ἐλεοῦντός σε, καὶ τῶν προστάξεων αὐτοῦ καταφρονήσασα, ἐν ἀσωτίᾳ τὴν ζωὴν, διατελεῖς φρενοβλαβῶς, ἀπόστηθι τῆς κακίας. τῇ Θεοτόκῳ βοῶσα. ἀπεγνωσμένην ψυχήν ἐλέησον.

Ὠδὴ, ζ΄. Ὁ ἐν καμίνῳ πυρός.

ΘΡηνῶ καὶ κλαίω πικρῶς, ὅτι ἐκ φαύλης συνηθείας, ἑκών τε καὶ ἄκων ἁμαρτάνω ὁ δείλαιος.

ΝΑματοφόρε πηγὴ, τῆς νεκταρώδους ἀμβροσίας, τὴν τῶν παθῶν μου πολλὴν πικρίαν γλύκανον.

Ὑπὸ πολλῶν οἰκτιρμῶν, ἐπικαμφθεὶς ὁ πλαστουργός μου, λιταῖς τῆς Μητρός σου, συγχώρησίν μοι δώρησαι.

ΤΩν ψυχικῶν μου παθῶν, τὰς ἀλγηδόνας Θεοτόκε, σῶν πρεσβειῶν τῷ φαρμάκῳ νῦν θεράπευσον.

Ὠδὴ,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ η΄. Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων.

ΤΟ φοβερὸν καὶ φρικῶδες, ἐννοῶν ἁγνὴ Κριτήριον, τοῦ σοῦ Υἱοῦ, καὶ τὸ Βῆμα τὸ ἀπρόσιτον καὶ ἄστεκτον, ἐν κλαυθμῷ καὶ πόνῳ, πρὸς σὲ τὴν τοῦ Κριτοῦ μου Μητέρα καταφεύγω.

ΩΠῶς ὑποίσεις ψυχή μου, τὸν πικρότατον Χριστοῦ χωρισμὸν, τῆς Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων τὴν διάζευξιν, πῶς δὲ τοῦ νυμφῶνος ῥιφήσῃ θρηνῳδοῦσα ὡς αἱ μωραὶ παρθένοι.

ΟὝΠου τερπνὴ μελῳδία, καὶ φωνὴ ἀγαλλιάσεως, ὅπου γλυκύτατος ἦχος, καὶ χαρὰ ἑορταζόντων φαιδρᾶς, Ἀβραὰμ ἐν κόλποις πρεσβείαις τῆς Μητρός σου, Χριστὲ τάξον σοὺς δούλους.

ΧΑρᾶς αἰτία Παρθένε, καὶ ἀναίρεσις ἀρχαίας ἀρᾶς, δός μοι χαρμόσυνον πένθος, καὶ κατάνυξιν εὐφρόσυνον, δι᾽ ὧν ἐπιτύχω, τῆς ἐν τῷ Παραδείσῳ χαρᾶς καὶ εὐφροσύνης.

Ὠδὴ θ΄. Σὲ τὴν ὑπὲρ νοῦν.

ΝΙψον σου ψυχὴ, τὸ πρόσωπον δάκρυσι, καὶ ῥοαῖς κατανύξεως, ὅπως φανῇς τῷ νυμφίῳ Χριστῷ, ὡραιοτάτη καὶ ἐπίχαρις.

ἌΣπορος ἀνήροτος, ἀγεώργητος γῆ, σιτοφόρος ὡς ἄρουρα, καὶ χώρα πολύφορος, θεῖον ἔφυσε στάχυν Χριστὸν ἡ Πάναγνος.

ὍΛην τῆς ἐμῆς ψυχῆς τὴν ἀπόγνωσιν, εἰς τὸ ἄπειρον πέλαγος, τῆς σῆς ἀγαθότητος ἐπιρρίπτω, Χριστέ μου διὸ σῶσόν με.

ὝΜνον τῇ σῇ δόξῃ κατάλληλον Δέσποινα, οὐ δὲ στόμα πυρίπνοον, ἢ γλῶσσα πυρίφθογγος, πυριμόρφων Ἀγγέλων πλέκειν δύναται.

Προσόμοια, Χαίροις ἀσκητικῶν.

ὝΜνος σοι καὶ ἐγκώμιον πᾶν, παρὰ τῆς κτίσεως Ἁγνὴ ἐποφείλεται. ἀξίως καὶ γὰρ ἁπάντων, τὸν συνοχέα φρικτῶς, ἀπορρήτῳ λόγῳ ἐσωμάτωσας. διὸ ὡς προέφης, σὲ μακαρίζουσιν ἅπασαι, αἱ γενεαί τε καὶ φυλαὶ πάσης Κτίσεως, καὶ δοξάζομεν, τὴν δοξάσασαν ἅπαντας. ὅθεν κἀμοῦ τὴν δέησιν, ἐν ὕμνοις Πανύμνητε, προσαγομένην σοι δέξαι, μεμολυσμένου ἐκ στόματος, καὶ μή με βδελύξῃ, ἀλλ᾽ ἀντίδος μοι τὴν χάριν, καὶ μέγα ἔλεος.

ΧΑίροις περιστερὰ ἐκλεκτὴ, κεχρυσωμένη διανοίας ταῖς πτέρυξι, τρυγὼν ἡ ὡραιοτάτη, καὶ χελιδὼν γοητὴ, ἡ τὸ ὄντως ἔαρ ἀνατείλασα, ἀμνὰς ἡ κυήσασα, τὸν ἀμνὸν τοῦ Θεοῦ ἡμῶν, δάμαλις θεία, ἡ τὸν μόσχον βαστάσασα, τὸν βαστάζοντα τὰ ἡμῶν ἁμαρτήματα, ἄμπελος ἡ κατάκαρπος, τὸν βότρυν βλαστήσασα, τῆς σωτηρίας τὸν οἶνον, καὶ εὐσπλαγχνίας πηγάζοντα. αὐτὸν ἐκδυσώπει, τοῖς οἰκέταις σου δωρῆσαι τὸ μέγα ἔλεος.

ΟἼμοι τῷ παροργίσαντι σὲ, τὸν ἐλεήμονα Θεόν μου καὶ Κύριον, ποσάκις ἐπηγγειλάμην, μετανοῆσαι Χριστὲ, καὶ ψευδὴς εὑρέθην ὁ ἀνόητος. τὸ



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

πρὶν τοῦ Βαπτίσματος, κατερρύπωσα ἔνδυμα, τῶν συνθηκῶν τε, τῶν πρὸς σέ μου ἠλόγησα, καὶ τὸ δεύτερον πάλιν τοῦτο ἐπάγγελμα, ὅσοι καθωμολόγησα, Ἀγγέλων ἐνώπιον, καὶ τῶν ἀνθρώπων τὸ σχῆμα, τὸ πενθηρὸν ἐνδυόμενος, ἠθέτησα Σῶτερ, ἀλλ᾽ οὐχ ὡς τῆς σε Τεκούσης μὴ ἀπολέσῃς με.

Χεῖρας ἐπανατείνω πρὸς σέ. ἀνοίγω χείλη ῥυπαρά τε πρὸς δέησιν. καὶ κάμπτω καρδίας γόνυ, καὶ νοητῶς τῶν ποδῶν, σοῦ τῶν παναχράντων νῦν ἐφάπτομαι, ἁγνὴ καὶ προσπίπτω σοι, τὰς ὀδύνας μου ἴασαι, τὰ χρόνιά μου, τὰ πολλὰ καὶ ἀνίατα, ἀγαθότητι, σοῦ θεράπευσον θαύματι, ῥῦσαι ἐξ ὁρωμένων με, ἐχθρῶν ἀοράτων τε, κούφισον Κόρη τὸ βάρος, τῆς ῥαθυμίας μου ὅπως σε, ὑμνῶ καὶ δοξάζω, δι᾽ ἧς εὕρατο ὁ Κόσμος τὸ μέγα ἔλεος.

## ΤΗ͂Ι ΤΡΙ΄ΤΗΙ ἙΣΠΕ΄ΡΑΣ.

### ΚΑΝΩ͂Ν ΕἸΣ ΤΗ͂Ν

# ΠΑΝΑ΄ΜΩΜΟΝ ΘΕΟΤΟ΄ΚΟΝ.

Ὠδὴ, α΄. Ἦχος, πλ. α΄. Ἵππον καὶ ἀναβάτην.

Πνεῦμα συντετριμμένον παράσχου μοι ἀγαθὴ, ταπεινήν τε καρδίαν, νοός τε καθαρότητα, καὶ βίου διόρθωσιν, πταισμάτων συγχώρησιν, καὶ δακρύων πηγὰς ἀμόλυντε.

Ἐμαυτὸν ἀποκλαίω πρὸ τῆς ἐξόδου μου, ἐννοῶν τῶν κακῶν μου τὴν ἄβυσσον Παναμώμε, διὸ ἱκετεύω σε, τὸν Υἱόν σου αἴτησαι, λυτρωθῆναι με τῆς κολάσεως.

Ἔχουσα μετανοίας καιρὸν ἀπόστηθι ἀπὸ πάσης κακίας ψυχή μου, καὶ τῷ Πλάστῃ σου, ἐν δάκρυσι βόησον· ὁ Θεός μου σῶσόν με, ἱκεσίαις τῆς κυησάσης σε.

Ἄβυσσός με ἐσχάτη περιεκύκλωσε, τῶν ἀμέτρων πταισμάτων, καὶ εἰς βυθὸν καθέλκει με, δεινῆς ἀπογνώσεως, ἡ τεκοῦσα ἄβυσσον, εὐσπλαγχνίας σπεῦσον καὶ σῶσόν με.

Ὠδὴ, γ΄. Ὁ πήξας ἐπ᾽ οὐδενός.

Ταράσσει ἁμαρτιῶν δεινόν με κλυδώνιον, εἰς βυθὸν πταισμάτων καθέλκον ἄχραντε, ζάλη ἐναντίων λογισμῶν, χειμάζει τὴν ψυχήν μου, τὸν κυβερνήτην ἡ κυήσασα, σπεῦσον ἐξελέσθαι τὸν δοῦλον σου.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Δολίως ὁ ἐχθρός με θηρεῦσαι ἐπείγεται, τῆς αἰωνιζούσης φλογὸς ὑπέκκαυμα, δεῖξαί με βουλόμενος Ἁγνή, τὰς τούτου μεθοδείας, καὶ τὰ βουλεύματα διάλυσον, ἵνα σε δοξάζω γηθόμενος.

Νοσοῦντες καὶ πειρασμοῖς δεινοῖς συνεχόμενοι, παντουργὲ οἰκτίρμων καὶ πολυεύσπλαγχνε, τὴν ὑπεραγίαν σου σκέπην, προσφερόμενοί σοι πάντες, εἰς ἱκεσίαν καὶ βοῶμέν σοι, λῦσον προστάσεις τῶν δούλων σου.

Ἐτέχθη ἐκ σοῦ Θεός, ἁγνὴ σωματούμενος, καὶ σαρκὶ ὡράθη ὁ πρὶν ἀόρατος, τοῦτον οὖν δυσώπει ἐκτενῶς, ἐξ ὁρατῶν ἐχθρῶν με, καὶ ἀοράτων Κόρη ῥύεσθαι, τὸν εἰλικρινῶς σε δοξάζοντα.

Ὠδὴ δ΄. Τὴν θείαν ἐννοήσασα σου κένωσιν.

Ἀσώτως διεσκόρπισα Πάναγνε, τὸν πλοῦτον ὅνπερ μοι Χριστός, ὡς ἀγαθὸς ἐδωρήσατο, μὴ οὖν παρίδῃς με Κόρη, λιμῷ τῶν ἀρετῶν ἀπολλύμενον.

Ὁ βίος μου πταισμάτων πεπλήρωται, ὁ λογισμὸς δὲ ἐμπαθής, καὶ ἡ ψυχή μου κατάκειτος. διὸ τῇ σῇ εὐσπλαγχνίᾳ, ἐλέησον καὶ σῶσόν με Δέσποινα.

Ἐλέησον, συμπάθησον οἴκτειρον, τὴν παναθλίαν μου ψυχήν, ὡς ἐλεήμων καὶ εὔσπλαγχνος, καὶ δός μοι Κύριε δάκρυα, ὅπως θρηνήσω μου τὰ ἐγκλήματα.

Ψυχή μου ταπεινὴ καὶ ταλαίπωρε, τί τῆς σαρκὸς ταῖς ἡδοναῖς, καθυποκύπτεις λυποῦσα Θεόν; πρόσπεσον τῇ Θεοτόκῳ. αἰτοῦσα σωτηρίαν καὶ λύτρωσιν.

Ὠδὴ ε΄. Ὁ ἀναβαλλόμενος.

Ἥλιος νενίκηται, τῇ σῇ λαμπρότητι, Μαρία σὺ γὰρ τὸν τοῖς φωστῆρσιν, Οὐρανὸν κοσμήσαντα, χερσὶ περιέχεις, καὶ ἐκ μαζῶν ἐθήλασας.

Χαίροις ἡ γεννήσασα, Θεὸν ἐν σώματι, τὸν πρὸ αἰώνων γεγεννημένον, ἐκ Πατρὸς ἀσώματον, καὶ τὴν προπατόρων, ἀρὰν ἐξαφανίσασα.

Μὴ καταδικάσῃς με, εἰς πῦρ τὸ ἄσβεστον. Χριστὲ Σωτήρ μου ταῖς ἱκεσίαις, τῆς ἁγνῶς Τεκούσης σε, καὶ τῶν Ἀποστόλων καὶ πάντων τῶν Ἁγίων σου.

Ἱλασμόν μοι δώρησαι, ταῖς σαῖς δεήσεσιν, ἁμαρτημάτων ἁγνὴ Παρθένε, ἡ τὸ ἱλαστήριον, τὸ Θεῖον τεκοῦσα, Χριστὸν τὸν μόνον εὔσπλαγχνον.

Ὠδὴ ς΄. Μαινομένην κλύδωνι.

Εἰς βυθὸν ἀπέρριμαι, ἐγκλημάτων καταποντισθείς, ἔκτεινον τὴν χεῖρά σου Παναμώμε, καὶ ἐξ ᾅδου ἀνάγαγε ἀπογνώσεως.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ἡμέρᾳ θλίψεως, ὅταν μέλλω τῶν σωματικῶν, δεσμῶν ἀπολύεσθαι παράστηθι, ἐπιδρομῆς τῆς τῶν δαιμόνων με ῥύουσα.

Εἶσαι μου τοῦ δούλου σου, ἱκεσίαις Δέσποτα Χριστὲ, τῆς ἁγνῶς τεκούσης σε, ὅταν μέλλῃς κρῖναι τὸν Κόσμον ὃν ἔπλασας.

ὩΣ ἀκαταμάχητος συμμαχία τῶν Χριστιανῶν, καὶ ἐλπὶς καὶ σκέπη καὶ ἀντίληψις, καὶ προσφυγὴ σοὶ προσφυγόντα με σκέπασον.

Κάθισμα. Τὸν συνάναρχον Λόγον.

Ὁ Καιρὸς μετανοίας ψυχὴ ἀνάστηθι, ἐκ τῆς νῦν ῥαθυμίας τῆς κατεχούσης σε, καὶ τῷ νυμφίῳ σου Χριστῷ, μετὰ λαμπάδος φωτεινῆς, καὶ συμπαθείας δαψιλοῦς, σὺν ταῖς φρονίμοις παρθένοις, ὑπάντησον ἵν' εἰσέλθῃς, εἰς τὸν νυμφῶνα τὸν Οὐράνιον.

Ὠδὴ, ζ'. Ὁ ὑπερυψούμενος.

ΦΡίττουσι καὶ φεύγουσι, τὴν σὴν κλῆσιν Δέσποινα, δαιμόνων αἱ φάλαγγες. ἐξ ὧν λυτρουμένη με, διάσωζε καὶ φρούρει κατ' ἀμφοῖν ἐκ πάσης βλάβης.

ἌΡρητος ἡ δόξα σου, τὸν γὰρ δόξης Κύριον, Παρθένε γεγέννηκας. διό με ἀξίωσον, τῆς Οὐρανίου δόξης, τὸν πιστῶς σε ἀνυμνοῦντα.

ΣΚότους ἐξωτέρου με, καὶ φρικτῆς κολάσεως, τὸν δοῦλόν σου λύτρωσαι. λιταῖς τῆς τεκούσης σε, βοῶντα σοι Χριστέ μου ὁ Θεὸς εὐλογητὸς εἶ.

ΣΆρκα μὲν ἐμόλυνα, ταῖς βεβήλοις πράξεσι, τὸν νοῦν δὲ ἠχρείωσα αἰσχραῖς ἐνθυμήσεσιν. ἀλλ' οἴκτειρον καὶ σῶσον τὸν ἀχρεῖον σου οἰκέτην.

Ὠδὴ, η'. Σοὶ τῷ παντουργῷ.

Ἡ Τὸν θελητὴν, τεκοῦσα τοῦ ἐλέους, ἐλέησον ἅπαντας τοὺς πίστει ψάλλοντας, πάντα τὰ ἔργα.

ῬΥ̓σαι τοῦ πικροῦ, καὶ ἐξωτέρου σκότους, καὶ τοῦ ἀκοιμήτου με Παρθένε σκώληκος. ὡς γὰρ τεκοῦσα τὸν ποιητὴν τοῦ Κόσμου. πάντα ὅσα θέλεις ποιεῖς ταῖς σαῖς πρεσβείαις.

ἼΛεως γενοῦ, τοῖς σοῖς οἰκέταις Λόγε, εὐχαῖς τῆς Τεκούσης σε, καὶ σῶσον ψάλλοντας, πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε.

ΔἜχου τὴν ᾠδὴν, ἐξ εὐτελῶν στομάτων, Παρθένε πανύμνητε τῶν ἐκβοώντων σοι. χαίροις νοσούντων σωμάτων ἰατρεῖον, καὶ ἀπεγνωσμένων ψυχῶν ἡ σωτηρία.

Ὠδὴ, θ'. Ἡσαΐα χόρευε.

Χ Οἰκείαν συγγένειαν, μὴ παρίδῃς Δέσποινα ἁγνὴ, ἀλλ' ἔσο μοι βοηθὸς ἐν ταῖς συμφοραῖς, ῥωννύουσα σκέπουσα, ῥυομένη πάντων τῶν δεινῶν, ἐν σοὶ γὰρ πέποιθα, τῇ ἑτοίμῃ πρὸς τὸ σώζειν με.

Ἐπὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Βιβλιοθήκη Μηλεών

ΕΠὶ σοὶ ἐκχέομεν, τὴν ἐκ πόνου δέησιν ἁγνή. ἐλέησον ἡμᾶς τοὺς ἁμαρτωλούς. μὴ καταισχυνθείημεν, ἐν ἡμέρᾳ τῇ τῶν ἀναγκῶν, σὲ τὴν πανεύσπλαγχνον Θεοτόκον προσκαλούμενοι.

Ὁ Θεὸς εἰσάκουσον, τοῦ λαοῦ σου νῦν τῆς προσευχῆς, καὶ λύτρωσαι ἡμᾶς, βλάβης τοῦ ἐχθροῦ, ἱδρῶσι προσάγομεν, εἰλικρινῶς εἰς ἐξιλασμὸν, σὲ τὴν κυήσασαν· ἣν ἐκ πόθου μακαρίζομεν.

Ἱλασμὸν καὶ ἄφεσιν, τῶν πταισμάτων αἴτησαι ἡμῖν, καὶ πάντων τῶν δυσχερῶν τὴν ἀπαλλαγὴν, καὶ βίου διόρθωσιν, νοῦν καθαρὸν καὶ φωτοειδῆ, ἵνα δοξάζωμεν, τὴν πολλήν σου ἀγαθότητα.

Στιχηρά. Χαίροις ἀσκητικῶν.

ΧΑίροις ὁ λογικὸς Οὐρανὸς, ἐμψυχωμένον τοῦ Δεσπότου παλάτιον. ἡ κλίμαξ δι' ἧς κατέβη, ὁ τοῦ παντὸς ποιητὴς, τοὺς βροτοὺς ἀνάγων πρὸς οὐράνιον, ζωὴν παναμώμητε, καὶ ἀκήρατον εὔκλειαν. χαῖρε ἡμέραν, μυστικὴν ἡ αὐγάσασα· καὶ φωτίσασα τοὺς ἐν σκότει καθεύδοντας. χαῖρε ἡ τὰ οὐράνια, τοῖς κάτω συνάψασα, τῷ παραδόξῳ σου τόκῳ. χαῖρε χαρᾶς ἡ ἀνάβλυσις, Θεοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

ΧΑίροις ἡ νοητὴ κιβωτὸς, δι' ἧς βροτοὶ κατακλυσμοῦ διεσώθημεν· καὶ ζάλης τῆς ἁμαρτίας, ἀπηλπισμένων λιμὴν, τὸ θερμὸν τοῦ Κόσμου ἱλαστήριον, δι' οὗ τῆς ἀφέσεως, οἱ Πιστοὶ ἠξιώθημεν. χαῖρε λυχνία φωταυγὴς καὶ ὑπέρλαμπρος, ἡ τὸ ἄστεκτον ἐν ἀχράντῳ νηδύϊ σου, φῶς τὸ πανυπερούσιον, ἀφθόρως βαστάσασα. χαῖρε κατάρας ἡ λύσις, καὶ εὐλογίας ἀντίδοσις. Χριστοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

ΒΙ'βλων ἀνοιγομένων Χριστὲ, ἐν τῇ ἡμέρᾳ τῆς φρικτῆς παρουσίας σου, καὶ πάντων παριστάμενων τῷ Κριτηρίῳ τῷ σῷ, καὶ ἀποβλεπόντων τὴν ἀπόφασιν, πυρὸς πρὸ τοῦ Βήματος, ἑλκομένου καὶ σάλπιγγος. σφοδρῶς ἠχούσης, τί ποιήσω ὁ ἄθλιος, ἐλεγχόμενος ὑπὸ τῆς συνειδήσεως, καὶ καταδικαζόμενος, εἰς φλόγα τὴν ἄσβεστον. δέομαι οὖν πρὸ τοῦ τέλους, λύσιν πταισμάτων παράσχου μοι, Χριστὲ τῆς Μητρός σου, ἱκεσίαις ὡς οἰκτίρμων, καὶ πολυέλεος.

ΧΑίροις ἡ μαργαρίτην Χριστὸν, ἐξ ἀστραπῆς τῆς Θειότητος κυήσασα, τοὺς σκότει τῆς ἀγνωσίας, καὶ τοὺς ἐν βάθει δεινῶν, συσχεθέντας Κόρη παραπτώσεων, πρὸς φῶς τὸ τῆς γνώσεως, ὁδηγήσασα Δέσποινα. χαῖρε νεφέλη τηλαυγὴς καὶ ὑπέρφωτε. χαῖρε καύχημα, Ἀποστόλων καὶ κήρυγμα, θέαμα ἐξαίσιον, ἐξαίσιον ἄκουσμα, χαῖρε δοχεῖον τοῦ Κτίστου, καὶ καθαρὸν ἐνδιαίτημα. Χριστοῦ ὃν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.



Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂ ΤΕΤΑ'ΡΤΗ, Ε'ΣΠΕ'ΡΑΣ.

## ΚΑΝΩ'Ν ΕΙ'Σ ΤΗ'Ν Υ'ΠΕΡΑΓΙ'ΑΝ ΘΕΟΤΟ'ΚΟΝ.

Ω'δὴ α΄. ἦχος, πλ. α΄. Τῷ Σωτῆρι Θεῷ.

ΦΩτοφόρε σκηνὴ, τοῦ Βασιλέως Χριστοῦ, καταύγασόν μου τὴν διάνοιαν, ἐσκοτισμένην ἀπάτῃ τοῦ πολεμήτορος, καὶ ζόφῳ τυφλώττουσαν τῶν παραπτώσεων.

ΛΟγισμῶν πονηρῶν, τὴν ταπεινήν μου ψυχὴν, Θεοκυῆτορ ἐλευθέρωσον, καὶ οἰκητήριον Θεοῦ ταύτην ἀπέργασαι, ἵνα καταξίως σε δοξάζω πάντοτε.

Ι'Να τί ὦ ψυχὴ, ἐν ῥαθυμίᾳ πολλῇ τὸν βίον ὅλον ἐδαπάνησας, σπεῦσον, καὶ βόησον Χριστῷ, Κύριε σῶσόν με, ταῖς ἱκεσίαις τῆς ἀσπόρως τεκούσης σε.

ΤΗ'ν ἐν μητράσιν ἁγνὴν, καὶ ἐν παρθένοις σεμνὴν, τὴν κυοφόρον καὶ ἀπείρανδρον, τὴν παιδοτόκον καὶ Παρθένον καὶ θηλάζουσαν, Μαρίαν τὴν ἄχραντον ἀνυμνήσωμεν.

Ω'δὴ, γ΄. Δυνάμει τοῦ Σταυροῦ σου Χριστέ.

ΣΤαγόνα μοι δακρύων ἁγνὴ, παράσχου ὅπως ἐξαλείψωμαι, τῶν ἐγκλημάτων τὴν ἄβυσσον, καὶ γνησίως ἀνυμνήσω σε.

Η'Υλόγηται ἡ φύσις ἡμῶν, τῇ σῇ γεννήσει ἀπειρόγαμε, τὴν εὐλογίαν γὰρ τέξασα, τὴν κατάραν ἐξηφάνισας.

ΔΑκρύων ὡς ἐν κατακλυσμῷ, πολλῶν ὑδάτων ῥείθροις Δέσποινα, τὰς ἁμαρτίας μου βύθισον, ἱκεσίαις τῆς τεκούσης σε.

Ε'Λέησον ἀθλίαν ψυχὴν, ἀπορουμένην καὶ προσφεύγουσαν, τῷ ἐλέει σου Δέσποινα, ἐλεῆμον καὶ φιλάγαθε.

Ω'δὴ, δ΄. Εἰσακήκοα τὴν ἀκοήν.

Ε'Μαυτὸν ἀποκλαίω ὅταν εἰς ἔννοιαν, ἔλθω τῶν πολλῶν μου πταισμάτων, καὶ τοῦ πυρὸς τοῦ ἀσβέστου, καὶ δυσωπῶ σε τούτου ῥῦσαί με Α'ειπάρθενε.

ΠΟ'ία γλῶσσα ἐξείποι, τῶν πεπραγμένων μοι δεινῶν, τὰς ἀπείρους θαλάσσας, καὶ τὸν βυθὸν τῶν πταισμάτων; ἀπεγνωσμένον σῶσόν με Παρθένε πανάμωμε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ἹΛαστήριον ἁμαρτωλῶν καὶ καταφυγὴ Πιστῶν, ὧν περ ἥμαρτον, κἀμοὶ τὸν ἱλασμὸν προσφυγόντι σοι, δώρησαι πανάμωμε Δέσποινα.

ὩΣ ὀμβρήσασα τῶν οἰκτιρμῶν, τὴν ἀδαπάνητον πηγὴν, τὴν αὐχμώσαν μου καρδίαν, καὶ ξηρὰν ὑπεράμωμε, δάκρυσιν ὡς ὕδασιν ἄρδευσον.

Ὠδὴ, ε'. Ὀρθρίζοντες βοῶμέν σοι Κύριε.

ἘΝ ὥρᾳ τῆς ἐξόδου μου Δέσποινα, παράστηθι, τοὺς περιεστῶτάς με, δεινοὺς διώκουσα δαίμονας.

Ἐπίβλεψον, εἰσάκουσον Δέσποινα, τῆς φωνῆς μου, καὶ ῥῦσαί με δέομαι, τῆς αἰωνίου κολάσεως.

Ἐλέησόν με μόνε φιλάνθρωπε, καὶ οἰκτίρμων, εὐχαῖς τῆς τεκούσης σε, σὺ γὰρ Θεός μου καὶ Κύριος.

ΜΑρία πολυύμνητε Δέσποινα μνήσθητί μου, ὅτε ἐπὶ Βήματος, τοῦ σοῦ Υἱοῦ παραστήσομαι.

Ὠδὴ, ς'. Ἐκύκλωσέ με ἄβυσσος.

ΔΕδόξασαι τῷ τόκῳ σου, ἀνθρώπων ἡ φύσις ἡ ἄδοξος· ἐνδόξως γὰρ ἔτεκες, Θεὸν ὑπερένδοξον, Μαρία εὔδοξε, ὅθεν σε δοξάζομεν.

ὉΒίος μου πεπλήρωται, ἀμελείας καὶ παραπτώσεων, διὸ πρὸς μετάνοιαν, Δέσποινα ἐπίστρεψον, πρὶν λάβῃ πέρας τοῦ βίου ἡ πανήγυρις.

ἘΚέκραξα ἐν ὅλῃ μου, καρδίᾳ ἐλέησον Δέσποινα, ψυχὴν ἀδιόρθωτον, τὴν σὲ μόνον βλέπουσαν, καὶ εἰς τὸ μέγα σου ἔλεος ἐλπίζουσαν.

Ρ Αγλῶσαι προσπαθείας με, γήινου προσύλου σχέσεως, ἐν ὕλῃ τὸν ἄϋλον, σαρκὸς ἡ κυήσασα. Μαρία Πάναγνε δέομαι παράσχου μοι.

Κάθισμα. Τὸν συνάναρχον Λόγον.

ΤὸΝ ἐκ σοῦ σαρκωθέντα Θεὸν καὶ Κύριον, δι' ἡμᾶς τοὺς φθαρέντας τοῖς ἁμαρτήμασι. τοῦτον ἱκέτευσον θερμῶς, τοῦ οἰκτειρῆσαι ἡμᾶς, καὶ ἀποστρέψαι τὸν θυμὸν, καὶ τὴν ὀργὴν αὐτοῦ σεμνὴ, ἀπὸ τῶν πίστει τιμώντων, καὶ ἀνυμνούντων ἀπαύστως, τὴν δυναστείαν καὶ τὸ κράτος σου.

Ὠδὴ, ζ'. Οἱ ἐν καμίνῳ πυρός.

ΤΩΝ ψυχικῶν μου παθῶν τὰς ἀλγηδόνας Θεοτόκε, σῶν πρεσβειῶν τῷ φαρμάκῳ νῦν θεράπευσον.

ΣΤὴν ἐμμολυσμένην ψυχὴν, καὶ λογισμὸν συνεσταλμένον, παράσχου μοι ἀγαπώντως δοξάζουσί σε.

ΤΩΝ ἀκουσίων παθῶν, καὶ ἑκουσίων τὴν συγγνώμην, τῇ σῇ χρηστότητι Δέσποινα παράσχου μοι.

ΤΙς κατ' ἀξίαν τὸν σὸν, Θεογεννήτορ ξένον τόκον, ὑμνολογήσει βροτῶν, ἢ ἑρμηνεύσει Νόων;



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠ'δὴ, ή. Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων.

ΕΝ ἀμελείᾳ τὸν βίον ἐκτελέσας ὁ ταλαίπωρος, καὶ προσεγγίσας τῷ τέλει τῆς ζωῆς μου, σοὶ κραυγάζω Ἁγνὴ, τῆς τῶν ἐναντίων ἐξάρπασον παγίδος, τὴν ταπεινὴν ψυχήν μου.

ΣΩματικαῖς ἀῤῥωστίαις, καὶ παθῶν ἐπαναστάσεσι, καὶ ψυχικαῖς ἀλγηδόσι, χαλεπῶς ἐταζομένῳ μοι, τῇ σῇ μεσιτείᾳ, παράσχου τὴν ὑγείαν Παρθένε Θεοτόκε.

ΜΗ' τῷ θυμῷ σου ἐλέγξῃς, τοὺς οἰκέτας σου Χριστὲ ὁ Θεὸς, μὴ τῇ ὀργῇ σου παιδεύσῃς τὸν λαόν σου ἀναμάρτητε, τὴν γὰρ σὲ τεκοῦσαν προσφερόμεθά σοι πρέσβιν Δέσποτα ἐλεῆμον.

ΣΕραφικὴν σε λαβίδα, καὶ πυράγραν Ἠσαΐας ὁρᾷ, ἄνθρακα θείας οὐσίας, ἐν τοῖς κόλποις σου βαστάζουσαν, ἐν ᾧ τὰς ἀκάνθας, κατάφλεξον Παρθένε τῶν ἐμῶν ἐγκλημάτων.

Ὠ'δὴ, θ'. Σὲ τὴν ὑπὲρ νοῦν.

ΝΕ'κρωσον τὸ σῶμα, καὶ ζώωσον τὴν ψυχὴν, τὴν ἐμὴν ἀπειρόγαμε ζωὴν ἐνυπόστατον ἡ τεκοῦσα, ζωοῦσαν καὶ ψυχοῦσαν ἡμᾶς.

ΟΤαν ἡ ψυχή μου μέλλῃ χωρίζεσθαι, τοῦ ἀθλίου μου σώματος, τῆς τῶν ἀοράτων ἐχθρῶν, τυραννίδος με ῥῦσαι Θεονύμφευτε.

ΟΤαν ἐπὶ θρόνου δόξης καθίσῃς Χριστὲ, κρῖναι Κόσμον, ὃν ἔπλασας, κἀμὲ τὸν οἰκέτην σου, μετὰ τῶν ἐκλεκτῶν σου συναρίθμησον.

ΣΤρέψον εἰς χαρὰν, τὸν θρῆνόν μου Δέσποινα, καὶ δουλείας ἀπάλλαξον, τῶν νῦν πολεμούντων με, καὶ φωτὸς ἀνεσπέρου καταξίωσον.

Στιχηρὰ Προσόμοια. Χαίροις ἀσκητικῶν.

ΠΑ'σαι ἐπὶ τῆς γῆς αἱ φυλαὶ, μακαρίζομέν σε Ἁγνὴ ὡς προέφησας, καὶ χαῖρε σοὶ προσφωνοῦμεν, μετ' εὐφροσύνης πιστῶς. χαῖρε θεία στάμνε Μάννα φέρουσα, πηγὴ τὸ ἀείζωον, καὶ ἡδύτατον βρύουσα, νᾶμα καὶ πόμα, ἐξ οὗ πάντες οἱ πίνοντες, ἐμπιπλώμεθα εὐφροσύνης καὶ τέρψεως. χαῖρε τῶν εὐφημούντων σε, ἑτοίμη ἀντίληψις, τῶν ἐν ἀνάγκαις προστάτις, κινδυνευόντων βοήθεια, Θεοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

ΣΤρέψον τὸν κοπετὸν εἰς χαρὰν, εἰς εὐθυμίαν δὲ τὸ πένθος μετάβαλλε, τὸν θρῆνον εἰς εὐφροσύνην, καὶ ἀγαλλίασιν νῦν, Θεοτόκε μόνη πανευλόγητε. καὶ γὰρ ἐπληθύνθησαν, οἱ μισοῦντες τὸν δοῦλόν σου, καὶ ἐκζητοῦσι, τὴν ψυχὴν ἀπολέσαι μου, οἱ αἱμοβόροι, καὶ πάντῃ ἀναιδέστατοι, μάτην κατεπαιρόμενοι, δεινῶς ὠρυόμενοι, σκύμνοι καθάπερ λυσσῶντες, ὧν τῆς κακίας με λύτρωσαι, ζωὴν δωρουμένη, εὐφροσύνην θυμηδίαν, καὶ μέγα ἔλεος.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Παῦσον τὰς τῶν δαιμόνων ὁρμὰς, τὰς κατ᾽ ἐμοῦ ἐπερχομένας φιλάνθρωπε, ζητούντων τοῦ θανατῶσαι, τὴν ταπεινήν μου ψυχὴν, καὶ καταγαγεῖν με εἰς ἀπώλειαν, αὐτῶν τὰς βουλάς τε, καὶ τὰς ἐνέδρας ματαίωσον, ταῖς τῆς Μητρός σου, ἱκεσίαις ὡς εὔσπλαγχνος, καὶ ἐκλύτρωσαι, ἀπὸ τούτων με Δέσποτα, παῦσον τὸ πολυτάραχον, τοῦ βίου κλυδώνιον, ῥῦσαι γεέννης καὶ σκότους, τοῦ αἰωνίζοντος δέομαι, Χριστὲ ὅταν ἔλθῃς, κρῖναι Κόσμον μετὰ δόξης, ὡς ὑπεράγαθος.

Κλαίω καὶ σκυθρωπάζω πικρῶς, κατανοῶν τὸ φοβερὸν λογοθέσιον, ἐξ ἔργων, μὴ κεκτημένος ἀπολογίας μικρᾶς, ἀφορμὴν ὁ τάλας, διὸ δέομαι, πρὶν ἢ ἐπιφθάσῃ με, τέλος βίου τὸ ἄδηλον, πρὸ τῆς δρεπάνης, πρὸ θανάτου πρὸ Κρίσεως, πρὸ τοῦ μέλλειν με, τὰς εὐθύνας εἰσπράττεσθαι, ἔνθα τὸ πῦρ τὸ ἄσβεστον, τὸ σκότος ἐξώτερον, ὅπου ὁ σκώληξ ἐκεῖνος, ὁ κατεσθίων τοὺς πταίοντας, Ἁγνὴ τῶν πταισμάτων, ἀπολύτρωσίν μοι δίδου, καὶ μέγα ἔλεος.

# Τῌ͂ ΠΕ΄ΜΠΤῌ ΕʹΣΠΕ΄ΡΑΣ,

## ΚΑΝΩ΄Ν ΕἸΣ ΤΗ΄Ν

# ὙΠΕΡΑΓΙ΄ΑΝ ΘΕΟΤΟ΄ΚΟΝ.

Ὠδὴ, α΄. Ἦχος, πλ. α΄. Ἵππον καὶ ἀναβάτην.

Πᾶσαί σε τῶν ἀνθρώπων γεραίρουσι γενεαὶ, καθὼς πάλαι Παρθένε, προφητικῶς προείρηκας, κἀμὲ τοίνυν πρόσδεξαι, μελῳδοῦντά σου Δέσποινα, καὶ συνέτισόν με καὶ φώτισον.

Ἄλλον Παράδεισόν σε γινώσκομεν νοητὸν, ἀσυγκρίτως νικῶντα τὸν ἐν Ἐδὲμ Παράδεισον, ὑπέρτιμε Μαρία Θεόνυμφε, σὺ γὰρ τὴν ἀφθαρσίαν βροτοῖς ἐβλάστησας.

Πλοῦτον καὶ θείαν δόξαν, ἐκτήσαντο μὲν πολλαὶ θυγατέρες προδήλως, ἀλλ᾽ ἀσυγκρίτως Δέσποινα, σὺ πάσας ὑπέρκεισαι, διό με πλουτήσασα, Οὐρανίων χαρίτων ἔμπλησον.

Τί σοι ἀνταποδώσω; τί δὲ προσοίσω σοι, περὶ ὧν μοι Παρθένε, πολλάκις ἀνταπέδωκας; καὶ ὧν εὐηργέτησας φιλανθρώπως, ὕμνον εὐχαριστίας ἀεὶ προσάξω σοι.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, γ'. Ὁ πήξας ἐπ' οὐδενός.

ΝΑμάτων τοῦ Παναγίου Πνεύματος ἔμπλησον, τὴν ἐκπικουμένην ψυχήν μου πνεύματι, καύσωνος ἐμπύρων λογισμῶν, καὶ πότισον τῇ δίψει τὴν φλεγομένην ἀπογνώσεως, ὕδωρ συγχωρήσεως Δέσποινα.

ΡΑνῖσι τῆς εὐσπλαγχνίας σου με ἀπόσμηξον, καὶ τῶν οἰκτιρμῶν σου περιραντίσασα, θείῳ ἐν ὑσσώπῳ νοητῶς, καθάρισον καὶ δεῖξον, πολλῷ χιόνος με λευκότερον, καὶ δακρύων ὄμβροις με ἔκπλυνον.

ὉΣτήσας φρικτῆς ἐπάρσεως ὥραν Δέσποτα, καὶ σοφῶς ὁρίσας ἡμέραν Κρίσεως, ἐν ᾗ φανερῶς τὰ ἐν κρυφῇ, πᾶσι πλημμεληθέντα, δημοσιεύσεις ἀκατάκριτον, διὰ τῆς Τεκούσης σε δεῖξόν με.

ὙΠάρχεις τῶν γηγενῶν ἐλπὶς καὶ βοήθεια, καὶ χαρὰ καὶ σκέπη καὶ καταφύγιον, Δέσποινα ἡ Μήτηρ τῆς ζωῆς, ὅθεν σε δυσωποῦμεν, τὴν σὴν βοήθειαν κατάπεμψον, τοῖς μετὰ πόθου ἀνυμνοῦσί σε.

Ὠδὴ, δ'. Τὴν θείαν ἐννοήσας σου κένωσιν.

ὩΡαίαν σε ψυχῇ τε καὶ σώματι, ὡραίαν καὶ τῷ λογισμῷ, τῶν ἀρετῶν ὡραιότησιν, ὁ ὡραιότατος Λόγος, εὑρών σε Θεοτόκε κατῴκησε.

ΣΤενάζω καὶ κακῶν οὐκ ἀφίσταμαι, κλαίω καὶ πάλιν τοῖς αὐτοῖς, συμπεριφύρομαι πάθεσι, καὶ ἡδονῶν τῷ βορβόρῳ, ὁ τίμιος ἀτίμως μολύνομαι.

ὉΔιὰ τοῦ Σταυροῦ δωρησάμενος, ζωὴν ἀθάνατον βροτοῖς, ἐκ τοῦ δευτέρου θανάτου με, Λόγε Θεοῦ ἁφαρπάσας, ζωῆς ἀτελευτήτου ἀξίωσον.

ἈΝήροτος σὺ πέφηνας ἄρουρα, τὸν μὴ σπαρέντα θεϊκόν, ἀναβλαστήσασα ἄσταχυν. διὸ πεινῶντά με θρέψον, ταῖς θείαις δωρεαῖς σου καὶ χάρισι.

Ὠδὴ, ε'. Ὁ ἀναβαλλόμενος.

ΘΡήνησον ἀθλία μου ψυχὴ σαυτὴν πρὸ θανῆς, πικρῶς καὶ κλαῦσον ἀπὸ καρδίας, πρὶν ἤ καταλάβῃ σε, ὁ κλαυθμὸς τοῦ ᾅδου ὁ λίαν ἀπαράκλητος.

ἼΔοιμί σε Δέσποινα παρισταμένην μοι, καὶ ἐν ἱλέῳ τῷ ὄμματί σου, εὐμενῶς ὁρῶσάν με, ὅτε ἡ ψυχή μου τοῦ σώματος χωρίζεται.

ῬΥσαι πάσης θλίψεως Χριστὲ τὸν δοῦλόν σου, διὰ Μητρός σου τῆς δεήσεως, πάσης κατακρίσεως, καὶ τῶν αἰωνίων κολάσεων ὡς εὔσπλαγχνος.

ΧΑῖρε χρυσαυγέστατον τοῦ Λόγου σκήνωμα, εὐλογημένη Θεομῆτορ, ἀσθενῶν ἐπίσκεψις, καὶ τῶν ἐν ἀνάγκαις προστάτις ἑτοιμότατος.

Ὠδὴ, ς'. Μαινομένην κλύδωνι.

ὙΠὲρ νοῦν τὸν ἄχρονον, ὑπὲρ λόγον τὸν δημιουργόν, Παναγία τέτοκας λυτρούμενον, πάσης φθορᾶς, τοὺς Θεοτόκον ὑμνοῦντάς σε.

ἈΓαθὸν κυήσασα, εὐεργέτην καὶ δημιουργόν, Παναγία Δέσποινα φιλάγαθε, τὴν ψυχήν μου κεκακωμένην ἀγάθυνον.

Τὴν

Δημόσια Βιβλιοθήκη Μηλεών

Τὴν πληθὺν ἐπίστασαι, τῶν παθῶν μου Δέσποτα Χριστὲ, τῶν ἐκταραττόντων καὶ θλιβόντων με, διὸ βοῶ, πρόφθασον καὶ τούτων με λύτρωσαι.

Νεκρωθέντας πάθεσιν, ἁμαρτίας Δέσποινα ἡμᾶς, ἀνίστωσα ζώωσον πρεσβείαις σου, ἡ τῆς φθορᾶς τὸν καθαιρέτην κυήσασα.

Κάθισμα. Τὸν συνάναρχον Λόγον.

Ἐμαυτὸν πρὸ τῆς δίκης νῦν ἀποκλαίομαι, ἐννοῶν μου τὰ ἔργα τὰ πονηρότατα, καὶ ἐγκλημάτων τὸν βυθὸν, τῶν προσφυέντων μοι, ἀπὸ νεότητος Ἁγνὴ, καὶ συμπνιγόντων με τὸν νοῦν, ἀλλὰ τῇ σῇ προστασίᾳ, τὴν ἄφεσίν μοι παράσχου, καὶ σωτηρίας τυχεῖν ἀξίωσον.

Ὠδὴ, ζ'. Ὁ ὑπερυψούμενος.

Ἔχων σε βοήθειαν, καὶ ἐλπίδα Πάναγνε, ἐχθρῶν μου ῥυσθήσομαι, καὶ οὐ φοβηθήσομαι ἀπὸ τῶν μυριάδων, τῶν ἐμὲ περικυκλούντων.

Ἐπὶ σὲ ἐπέβλεψε τὴν Ἁγνὴν ὁ Ὕψιστος, πολλὰ μεγαλεῖά σοι, ποιήσας ὡς ἔφησας, διὸ αἱ γενεαί σε, πᾶσαι νῦν μακαρίζουσιν.

Ἀχανὲς εἰς πέλαγος, ἀπερρίφην πράξεων, τῶν φαύλων ὁ δύστηνος, ἀλλ' οἴκτειρον Δέσποτα, καὶ σῶσόν με πρεσβείαις, τῆς Μητρός σου ὡς οἰκτίρμων.

Λύπης ἡ ἀναίρεσις, εὐφροσύνης πρόξενος, χαρμόσυνον πένθος μοι, καὶ λύπην εὐφρόσυνον, δίδουσα λύτρωσαί με, τοῦ πυρὸς τοῦ αἰωνίου.

Ὠδὴ, η'. Σοὶ τῷ παντουργῷ.

Ὅταν τῶν ἐμῶν, ἁμαρτιῶν τὸ πλῆθος, Παρθένε τὸ ἄπειρον ἀναλογίσωμαι, κλαίω στενάζων, ἐκ βάθους τῆς καρδίας, καὶ τῶν οἰκτιρμῶν σου προστρέχω τῇ ἀβύσσῳ.

Νέον ἐπὶ γῆς, Παρθενομῆτορ βρέφος, Πατρὸς τὸν συνάναρχον Υἱὸν ἐκύησας, οὕτω ἀφάτως ἡμῖν ὁμοιωθέντα, τοῖς διαφθαρεῖσιν ὑπὸ τῆς ἁμαρτίας.

Ἕνα ἐξ ἑνὸς, Θεοῦ Θεὸν τεχθέντα, ἀρρεύστως ἀμήτορα, τίκτεις ἀπάτορα, φέροντα μίαν ὑπόστασιν καὶ δύο, φύσεις ἡνωμένας Παρθένε ἀσυγχύτως.

Νέφος με Ἁγνὴ, πταισμάτων ἀμετρήτων, συνέχει τὸν δείλαιον οἴμοι τίς γένωμαι; σὲ προσκαλοῦμαι βοήθησόν μοι Κόρη, τῶν ἀπηλπισμένων λιμὴν καὶ προστασία.

Ὠδὴ, θ'. Ἡσαΐα χόρευε.

Σοὶ προσπίπτω Δέσποινα, καὶ προσφέρω δέησιν οἰκτρὰν, παράσχου μοι δωρεὰν ἔλεος τὸ σόν. καὶ γὰρ οὐχ ὑπάρχει μοι, ἐργασία ὅλως θεϊκὴ, ὅθεν σου δέομαι, δωρεάν με κατοικτείρησον.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΝΟερoῖς ἐν ὄμμασι, διανοίας βλέπειν σε δοκῶ, τὸ φῶς τῆς ἐμῆς ψυχῆς καὶ τὸν γλυκασμὸν, τὴν μόνην παράκλησιν, καὶ χαρμονὴν καὶ ἀναψυχὴν, τὸ τῆς καρδίας μου Θεοτόκε ἀγαλλίαμα.

ἘΜαυτὸν ὀδύρομαι, ἐννοῶν μου τῶν ἁμαρτιῶν, τὰ πλήθη καὶ τῶν παθῶν τὰς ἐπαγωγὰς, ψυχῆς μου τὴν πώρωσιν, καὶ τοῦ νοός μου τὰς ἐκτροπὰς, ἀπεγνωσμένον με, Χριστὲ σῶσον τῷ ἐλέει σου.

ΣΥνωθεὶ πρὸς στένωσιν, τῶν ἐπαίνων σου ὁ πλατυσμὸς, τὸν νοῦν μου τὸν ἀσθενῆ καὶ στενοχωρεῖ, τὸ πλῆθος συμπνῖγόν με, καὶ ἀπορεῖν ἐκ τοῦ διαπορεῖν, ἐπισυμβαίνει μοι, Θεοτόκε πολυύμνητε.

Στιχηρὰ Προσόμοια. Χαίροις ἀσκητικῶν.

ΧΑίροις Ἀνατολὴ νοητὴ, ἡ ἐκ λαγόνων τὸν Χριστὸν ἀνατείλασα. πληροῦντα τὴν Οἰκουμένην, φωτὸς ἀρρήτου ἁγνή. τὸ τῶν Ἀσωμάτων ἀγαλλίαμα. Ἀμνὸν Θεοῦ αἴροντα, ἁμαρτίας ἡ τέξασα. παντὸς τοῦ Κόσμου, τὸν τροφέα καὶ πρύτανιν ἡ θηλάσασα, καὶ ἀγκάλαις κατέχουσα. μόνη ἡ ἀδιάφθορος, ἁγνὴ καὶ ἀμόλυντος. χαῖρε Ἁγία Ἁγίων, τὸν Ὑπεράγιον Κύριον, ἀεὶ δυσωποῦσα, μὴ ἐλλίπῃς τοῦ πρεσβεύειν, ὑπὲρ τῶν δούλων σου.

ΧΑίροις τῶν γηγενῶν ἡ ἐλπὶς, γῆ ἐκλεκτὴ καὶ καθαρὰ καὶ ἀμόλυντος, πηγή τε ἐσφραγισμένη τοῦ Παρακλήτου σεμνὴ, σὺ ὑπάρχεις μόνη Ἀειπάρθενε, ἐξ ἧς οἱ ὑμνοῦντές σε, σωτηρίαν εὑρίσκομεν, γένους βροτείου, ἡ τελεία ἀνάκλησις, γῆ κατάκαρπε, ἡ τὸν στάχυν βλαστήσασα, γέφυρα ἡ μετάγουσα, γαλήνην πρὸς εὔδιον, ἡ κυβερνῆτις ἡ θεία, χειμαζομένων ἡ ἄγκυρα, λιμὴν σωτηρίας, τῶν ἐκ πόθου σε ζητούντων, ὁ εὐδιώτατος.

ΧΕίλη μεμολυσμένα κινῶ, καὶ ῥυπαρὰς χεῖρας πρὸς σὲ Ὑπεράγαθε, καρδίαν συγκεχωσμένην, τοῖς πονηροῖς λογισμοῖς, ὀφθαλμοὺς τυφλώττων ὁ πανάθλιος, ψυχὴν περιφέρω, ἐσκοτισμένην τοῖς πάθεσι. καὶ ταῖς ἀτόποις, ἡδοναῖς ὁ παμβέβηλος, συγκαλύπτομαι, καὶ οὐκ ἔχω ἀνάδυσιν. ἔκτεινον τὰς ἀχράντους σου, παλάμας φιλάνθρωπε, σῶσόν με Σῶτερ βοῶ σοι, καὶ μολυσμοῦ ἀποκάθαρον, πολλῶν ἐγκλημάτων, τῆς Μητρὸς ταῖς ἱκεσίαις, ὡς πολυεύσπλαγχνος.

ΣΤῆσον τοὺς ποταμοὺς τῶν παθῶν, τῆς ἁμαρτίας μου τὸ πέλαγος ξήρανον. τῷ ῥείθρῳ τῆς σῆς πρεσβείας, καὶ πρὸς λιμένα Θεοῦ, θείων θελημάτων ἐγκαθόρμισον, ἐχθροὺς καθ᾽ ἑκάστην, τοὺς τὴν ψυχήν μου ἐκθλίβοντας, καὶ ταῖς ἀτόποις ἡδοναῖς ἐκταράττοντας, καταπόντισον, ἀπωλείας εἰς βάραθρα. πλήρωσον τὴν καρδίαν μου, χαρᾶς καὶ ἡδύτητος, λῦσον τὸ νέφος βοῶ σοι, τῆς ἀθυμίας μου πάναγνε, Χριστὸν δυσωποῦσα, τὴν συγχώρησιν πταισμάτων, ἡμῖν δωρήσασθαι.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂ ΚΥΡΙΑΚΗ͂

## ἙΣΠΕΡΑΣ, ΚΑΝΩ͂Ν

## ΕἸΣ ΤΗ͂Ν

## ΠΑΝΥ͂ΜΝΗΤΟΝ ΘΕΟΤΟ͂ΚΟΝ.

### Ἦχος, πλ. Β'.

Ὠδὴ, α'. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

ΠΩς μου θρηνήσω τὸν βίον τὸν ῥυπαρόν; καὶ τὰ πλήθη Δέσποινα τῶν ἀμέτρων μου κακῶν; τί δὲ ἐξαγγείλω σοι Ἁγνὴ, ἀπορῶ καὶ δειλιῶ, ἀλλὰ βοήθει μοι.

ΠΌθεν ἀπάρξομαι λέγειν τὰ πονηρὰ, καὶ δεινά μου πταίσματα ὁ ταλαίπωρος ἐγώ. οἴμοι τί γενήσομαι λοιπὸν, ἀλλὰ Δέσποινα κἀμὲ πρὸ τέλους οἴκτειρον.

ΠΑ'σαν ὁδὸν παροδεύσας ἁμαρτιῶν, σωτηρίας Ἄχραντε, τρίβον εὗρον οὐδαμῶς, ἀλλὰ σοὶ προστρέχω ἀγαθὴ, μὴ παρίδῃς ἐκ ψυχῆς μετανοοῦντά με.

Ὁ' Διὰ σπλάγχνα ἐλέους σωματωθεὶς, καὶ βροτὸς γενόμενος εὐδοκίᾳ Πατρικῇ, Μητρικαῖς δεήσεσι καμφθεὶς, τῶν πταισμάτων μοι Σωτὴρ ἄφεσιν δώρησαι.

ΤΟῦ μὲν θανάτου τὴν ὥραν διηνεκῶς, ἐννοῶ Πανάχραντε, καὶ τὸ Βῆμα τὸ φρικτὸν, συνηθείᾳ ὅλως δὲ κακῶν, δελεάζομαι δεινῶς, ἀλλὰ βοήθει μοι.

Ὠδὴ, γ'. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

ΨΥ'χὴν ἐμόλυνα αἰσχρῶς, Δέσποινα Παναγία, ἐξ ἀμέτρων πταισμάτων, ὁ ταλαίπωρος ἐγὼ, καὶ ποῦ λοιπὸν προσδραμῶ; ἀπογνώσει ὅλως συνεχόμενος.

ΟΥ'κ ἔστιν ἄλλος ἐν βροτοῖς, ὁ τὰ ἄθεσμα πράξας, καὶ ἀσώτως βιώσας, ὥσπερ ἐγὼ ἀγαθὴ, ἐν ἀσελγείαις δεινῶν, τὸ γὰρ θεῖον Βάπτισμα ἐμόλυνα.



Δημόσια Βιβλιοθήκη Μηλεών

Οὐκ ἔχω πράξεις ἀγαθάς, οὐ κατάνυξιν ὅλως, οὐδὲ δάκρυα Σῶτερ, ἀλλ' ἐσκοτίσθην τὸν νοῦν, διὸ βοῶ σοι λιταῖς, σῆς Τεκούσης, σῶσόν με ὡς εὔσπλαγχνος.

Εἰς πέρας ἔφθασα κακῶν, Παναγία Παρθένε, σὺ βοήθησον τάχει. Οὐρανὸς γὰρ καὶ ἡ γῆ, καταβοῶσι πικρῶς, τῶν ἀμέτρων πράξεων τὰ ἄτοπα.

Ὠδὴ, δ'. Χριστός μου δύναμις.

Ἐξέστη ἅπασα, ἡ γῆ καὶ ἔφριξε, καθορῶσα δεινῶς με καὶ πονηρῶς, πράττοντα τὰ ἄτοπα, καὶ τοῦ Υἱοῦ σου τὴν πολλήν, εὐσπλαγχνίαν καταπλήττεται.

Ναὸν ἐμόλυνα, κακῶς τοῦ σώματος, καὶ ναὸν τοῦ Κυρίου, ὅνπερ βροτοί, τρέμοντες εἰσέρχονται, ἐγὼ δὲ οἴμοι ἀναιδῶς, εἰσπορεύομαι ὁ ἄσωτος.

Χριστέ μου εὔσπλαγχνε, Χριστὲ φιλάνθρωπε, ἀνεξίκακε μόνε ὁ δι' ἐμέ, Ἄνθρωπος γενόμενος, ἐξαμαρτόντα με δεινῶς, ὑπὲρ ἄνθρωπον ἐλέησον.

Μὴ δείξῃς Δέσποινα, μὴ δείξῃς ξένον με, ξενωθέντα τῆς σκέπης τοῦ σοῦ Υἱοῦ, ὅλως τὸν ἀνάξιον, ἀλλὰ ἀπόπλυνον κἀμέ, ἐκ τοῦ ῥύπου τῶν πταισμάτων μου.

Ὠδὴ, ε'. Τῷ θείῳ φέγγει σου.

Ἀδὰμ παρέβη μὲν ἐντολήν, μίαν τοῦ Υἱοῦ σου Παρθένε, καὶ ἐξορίᾳ ὑπέπεσε· πῶς δέ με θρηνήσω πταισμάτων ἄβυσσον, ἐγὼ ὁ Ἀποστάτης καὶ μυριόπταιστος;

Ἠσαῦ ἐζήλωσα τὸν δεινόν, ἐν γαστριμαργίᾳ, καὶ τρυφῇ ψυχὴν καὶ σῶμα ἐμόλυνα· μέθῃ καὶ λαγνείᾳ ῥυπώσας βίον μου, καὶ τίς λοιπὸν μὴ κλαύσῃ ἐμὲ τὸν ἄθλιον.

Θρηνῶ τῶν ἔργων τῶν πονηρῶν, πάσας τὰς εὐθείας ἐννοῶν, Χριστέ μου εὔσπλαγχνε Κύριε, καὶ πρὸ τῶν ποδῶν σου πρηνὴς κατάκειμαι, πρεσβείαις τῆς Μητρός σου, δός μοι τὴν ἄφεσιν.

Τῷ θείῳ φέγγει σου ἀγαθή, πύλη τῆς ζωῆς ἡμῶν Ἁγνή, ἐσκοτισμένον ὑπάρχοντα, φώτισον ἐν τάχει καὶ καθοδήγησον, πρὸς τρίβους σωτηρίας ὦ πολυύμνητε.

Ὠδὴ, ς'. Τοῦ βίου τὴν θάλασσαν.

Ὁ βίος μου ἄσωτος, ἡ ψυχή μου ῥυπαρά, καὶ ἡ ζωὴ παναθλιος, τὸ δὲ σῶμά μου ὅλον ἐν τοῖς κακοῖς, δεινῶς κατεσπίλωται, διὸ σπεῦσον Παρθένε καὶ βοήθει μοι.

Σείσθητι σπαράχθητι, καὶ κλονήθητι ψυχή, καὶ φρίξον καὶ συστάληθι, ἐνθυμουμένη ὅπως τὸν φοβερόν, Κριτὴν παροργίζουσα, κατακρίνεσθαι μέλλεις ἀδιόρθωτε.

Εἰς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΕΙ'ς χώραν ὁ ἄθλιος, ἐμακρύνθην ἀπὸ σοῦ, τοῖς δαίμοσι δουλούμενος, καὶ γυμνωθεὶς παντοίων ἐξ ἀγαθῶν, ὦ Πάτερ πανάγαθε, ἀλλὰ σῶσόν με πάλαι ὡς τὸν ἄσωτον.

ΝΥ'ν τρόμῳ συνέχομαι, καὶ πτοοῦμαι Ἀγαθή, τοῦ πονηροῦ τὰ ἔνεδρα· πρὸ τοῦ τέλους γὰρ τρίζει μοι ὁ φθορεὺς, ὀδόντας κατέχειν με, ὡς γυμνὸν ἀρετῶν, ἀλλὰ βοήθει μοι.

Κάθισμα. Πολλὰ τὰ πλήθη.

ΤΗ'ς ἀσθενούσης μου ψυχῆς τὰς πολλὰς ἀῤῥωστίας, καὶ τὰ τοῦ σώματος Ἁγνὴ χαλεπώτατα πάθη ἐπίσκεψαι, καὶ θεραπείας ταχινῆς ἀξίωσον, καὶ τὰς ἁγίας ἐντολὰς ποιεῖν με κατευόδωσον, Θεοῦ τοῦ ἀγαθοῦ, ἵνα σε μεγαλύνω.

Ω᾽δὴ, ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Ε'Πταπλάσιον τὴν φλόγα μοι ἐξέκαυσε, τὴν τῶν παθῶν ὁ δόλιος, ταῖς μοιχείαις δὲ τῆς καρδίας ὅλως θανατοῖ· ἀλλ᾽ ἄρδευσον ῥείθροις τῶν ἐμῶν, δακρύων Μῆτερ τοῦ Θεοῦ, καὶ μὴ ἀπώσῃ με.

ΦΟβερὸν μὲν τὸ Κριτήριον ταλαίπωρε, ψυχή μου καὶ ἀναίσθητε. καὶ ἡ κόλασις ἀτελεύτητός τε καὶ φρικτή. ἀλλ᾽ ὅμως νυνὶ πρόσπεσον Μητρὶ, τῇ τοῦ Κριτοῦ σου καὶ Θεοῦ, καὶ μὴ σαυτὴν ἀπογνῷς.

ΔΕῦρο τάλαινα ψυχή μου μετανόησον, ἡ Κρίσις ἐπὶ θύραις ἐστί. τί προσήλωσαι τοῖς ματαίοις, καὶ ἀχρήστοις ἀγαθοῖς, ἀνάστηθι πένθησον πικρῶς, βοῶσα ἐν πίστει τῷ Χριστῷ, Κύριε σῶσόν με.

ΕΣκοτίσθην ὁ ταλαίπωρος πανάχραντε, τῷ πλήθει τῶν ἀμέτρων μου κακῶν, καὶ ἠλλοίωμαι τῆς ψυχῆς τὸ ὄμμα καὶ τὸν νοῦν. διό μου φωτός σου ταῖς αὐγαῖς, πρὸς ἀπαθείας γλυκασμὸν θᾶττον εἰσάγαγε.

Ω᾽δὴ, η'. Ἐκ φλογὸς τοῖς ὁσίοις.

ΠΑρουσίαν θανάτου φρίττω ὁ δείλαιος, καὶ τὴν Κρίσιν ἐκείνην τὴν ἀπροφάσιστον, πράττειν δὲ δεινὰ, καὶ αἰσχρὰ οὐκ ἀφίσταμαι, οἴκτειρόν με Κόρη, καὶ σῶσον πρὸ τοῦ τέλους.

ΣΤεναγμοὺς ἀσιγήτους Δέσποινα δώρησαι, καὶ δακρύων πηγήν μοι, ἵνα ἐκπλύνω μου, πταίσματα πολλὰ, καὶ ἀνίατα τραύματα, ὅπως ἐπιτύχω ζωῆς τῆς αἰωνίου.

ΤΩ͂ μὲν στόματι κράζω συχνῶς τὸ ἥμαρτον, λογισμῷ δὲ ἐμμένω πράττων τὰ ἄτοπα, ποίοις οὖν Χριστὲ ὀφθαλμοῖς σε θεάσομαι, ὁ ἀπεγνωσμένος καὶ κατακεκριμένος.

ΤΩ͂ν κακῶν μου τὰ πλήθη σοὶ ἐξηγόρευσα, ὡς οὐδεὶς ἐν τῷ Κόσμῳ ἄλλος παρώργισε, Δέσποινα Θεὸν τὸν Υἱόν σου καὶ Κύριον, τούτῳ με ἐν τάχει κατάλλαξον Παρθένε.

Ὠδὴ, θ. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Ἰδοὺ προσέρχομαί σοι Πανάχραντε, φόβῳ πολλῷ καὶ πόθῳ τὴν ἰσχὺν ἐπιστάμενος, τῆς πολλῆς σου πρεσβείας ὁ δοῦλός σου. μέγιστα γὰρ ἰσχύει δέησις Δέσποινα, Μητρὸς πρὸς Υἱὸν παναληθῆ· σπλάγχνοις γὰρ κάμπτεται.

Χορούς παράλαβε Ἀρχαγγέλων τε, καὶ τὴν πληθὺν τῶν ἄνω στρατευμάτων καὶ Πρόδρομον, Ἀποστόλων δῆμόν τε καὶ τῶν Προφητῶν, Μάρτυρας καὶ Ὁσίους Ἱερομάρτυρας, καὶ ὑπὲρ ἐμοῦ πρὸς σὸν Υἱὸν πρεσβείαν ποίησον.

Ὢ πῶς θεάσομαι τὸν ἀθέατον· πῶς τὴν φρικτὴν ἐκείνην ὑποστήσομαι ὅρασιν· πῶς ἀνοῖξαι τολμήσω τὰ ὄμματα· πῶς τὸν ἐμὸν Δεσπότην ἰδεῖν θαρρήσομαι· ὃν οὐκ ἐπαυσάμην ἐκ παιδὸς λυπεῖν ἑκάστοτε.

Κριτὴν οἰκτίρμονα καὶ φιλάνθρωπον, τὸν σὸν Υἱὸν ἐκδέχομαι Ἁγνὴ μὴ παρίδῃς με. ἀλλ' αὐτόν μοι ποίησον ἵλεων, στῆσαι ἐκ δεξιῶν με τὸν ἀπροστάτευτον, τοῦ ἀχράντου Βήματος αὐτοῦ, εἰς σὲ γὰρ ἤλπισα.

Στιχηρὰ προσόμοια. Ὅλην ἀποθέμενοι.

Ἔχει πᾶς ὁ Κόσμος σε, πρὸς τὸν Θεὸν, ὃν ἀρρήτως, καὶ φρικτῶς ἐκύησας, σάρκα προσλαβόμενον ἐξ αἱμάτων σου, ἀγαθὴ Δέσποινα, ἀσφαλῆ γέφυραν, καὶ προστάτιν ἀκαταίσχυντον, πρέσβιν δίκαιον, συμπαθῆ μεσίτιν καὶ σύντομον. διόπερ καὶ ὡς ἄνθρωποι (φύσις ἀσθενής) ἁμαρτάνοντες, οὐδέποτε τούτου, ἀπέστημεν τῆς δόξης ἐπὶ σοὶ, τῆς σωτηρίας Πανάχραντε τὰς ἐλπίδας θέμενοι.

Ὅταν μου εἰς ἔννοιαν, τὸ φοβερὸν ἔλθῃ Βῆμα, τοῦ Υἱοῦ σου Πανάγνε, καὶ τὸ Δικαστήριον τὸ παγκόσμιον, ἀπορῶ δέδοικα· δειλιῶν καὶ τρέμων, τὴν τῶν ἔργων μου ἐξέτασιν. φαῦλα γὰρ ἅπαντα, καὶ αἰσχύνης πάσης ἀνάπλεα, καὶ σκότους καὶ κολάσεως, καὶ ἀποστροφῆς ὄντως ἄξια. ἴδε μου τὴν θλῖψιν. ἴδε μου τῆς ψυχῆς τὴν συντριβήν, καὶ τῆς ἀνάγκης ἐκείνης με, ῥῦσαι καὶ κολάσεως.

Μόνος ὑπὲρ ἅπαντας, Υἱοὺς ἀνθρώπων ὁ τάλας, μόνος ἐπλημμέλησα, τὰ καὶ λόγῳ ἄφθεγκτα καὶ ἀκούσματι, μηδαμῶς Δέσποτα, φορητὰ πέλοντα· διὰ τοῦτό σου καὶ δέομαι, σύγγνωθι εὔσπλαγχνε, καὶ πρὸ τῆς ἐξόδου μετάνοιαν, δός μοι ἐξομολόγησιν, δός μοι στεναγμούς τε καὶ δάκρυα, ἵνα διὰ τούτων συντρίβων τὴν καρδίαν μου ἀεὶ, καὶ κράζων ἥμαρτον ἥμαρτον, τύχω συγχωρήσεως.

Μίσησον ταλαίπωρε, πάντα τοῦ βίου ψυχή μου, ἃ Θεὸς βδελύσσεται, καὶ μισεῖ καὶ τέλεον ἀποστρέφεται· καὶ σπουδῇ πρόσελθε, καὶ πιστῶς δεήθητι, τῇ Μητρὶ Θεοῦ κραυγάζουσα· ῥῦσαί με Δέσποινα, πάσης ἀηδίας, ῥινήσεως, κραυγῆς θυμοῦ καὶ ἔριδος, ζήλου τε καὶ φθόνου καὶ μήνιδος, δεινῆς βλασφημίας, παντοίας ὑποκρίσεως Ἁγνὴ, καὶ τῆς τῶν ἔγγιστα Κρίσεως, καὶ ὡς οἶδας σῶσόν με.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂͂ ΔΕΥΤΕΡΑ, ΕΣΠΕΡΑΣ.

## ΚΑΝΩ͂Ν ΕΙ͂Σ ΤΗ͂Ν

# ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

Ὠδὴ, ά. ἦχος πλ. β'. Βοηθὸς ϰ̀ σκεπαστής.

ΠΩ͂ς προσέλθωσοι Ἁγνὴ, κατεγνωσμένος ἐγὼ ὁ τάλας, ὅλος ἐμπαθὴς, ἐναγὴς γεγονώς. ἀλλ' οἴκτειρον σῶσον, τὴν ἀθλίαν μου ψυχὴν, Θεοκυῆτορ Πανάγνε.

ΑΝισᾶσα ταπεινὴ, ψυχὴ τοῦ βάθους τῆς ἀτιμίας, βόησον θερμῶς, πρὸς τὴν μόνην ἁγνὴν, ἐλέησον Κόρη, παναμώμητε σεμνὴ, καὶ τῶν παθῶν με λύτρωσαι.

ΕΞισᾶ με ϰ̀ φοβεῖ, τὸ πῦρ τὸ ἄσβεστον τῆς γεέννης, σκώληξ ὁ πικρὸς, τῶν ὀδόντων βρυγμός· ἀλλ' ἄνες μοι ἄφες, καὶ τῇ στάσει με Χριστὲ, τῶν ἐκλεκτῶν σου σύνταξον.

ΝΑυαγίῳ πειρασμῶν, καταποντίζομαι ταῖς ἁμαρτίαις, ἔκτεινόν μοι νῦν, βοηθείας Ἁγνὴ, τὴν χεῖρα ϰ̀ ῥῦσαι, ἀτιμίας τῶν παθῶν, ὅπως ἀεὶ δοξάζω σε.

Ὠδὴ, γ'. Στερέωσον Κύριε, ἐπὶ τὴν πέτραν.

ΓΗράσαντα πάθεσιν, ἀτιμωτάτοις τῆς ἁμαρτίας, νεοποίησον Πανάμωμε, τῶν κλοιῶν με, καὶ δεσμῶν βαρέων κουφίζουσα.

ΑΝάνηψον τάλαινα, ψυχὴ τοῦ ὕπνου τῆς ῥαθυμίας, ὀφθαλμούς τε ἀναπέτασον, πρὸς τὴν μόνην, σώζουσάν σε Κόρην Θεόνυμφον.

ΗΜάρτηκα Κύριε, καθάπερ ἄλλος οὐδεὶς ἀνθρώπων, πλημμελήσας ὁ ἀσύνετος, πρὸ τῆς δίκης, ἵλεως γενοῦ μοι φιλάνθρωπε.

ΠΡοσέρχομαι Δέσποινα, ἀπεγνωσμένος συμπεφυρμένος, τῇ πρεσβείᾳ σου θερμότατα, καταφλέγων, σῶσόν με ἁγνὴ τὸν οἰκέτην σου.

Ὠδὴ, δ'. Ἀκήκοεν ὁ Προφήτης.

ΡΗμάτων τε καὶ πραγμάτων, εὐθύνας μέλλω κριθῆναι Θεοκυῆτορ, πρὸς τοῦ σοῦ Υἱοῦ Κόρη ὁ ἄθλιος, εὕροιμί σε τότε καταφύγιον, ἀντίληψιν κραταιοτάτην κολαστηρίων, παντοίων ῥυομένην με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὁ Βίος μου βορβορώδης, ἀκάθαρτός τε ἡ γνώμη ταῖς ἁμαρτίαις, ὅλος ἐμπαθὴς ἁγνὴ γεγένημαι, κάθαρον τοῦ ῥύπου τῶν πταισμάτων μου, καὶ λεύκανον Θεοτόκε σῇ μεσιτείᾳ, πρὸς τὸν Θεὸν τὸν εὔσπλαγχνον.

ΜῊ ἔλθω εἰς γῆν κλαυθμῶνος, μὴ ἴδω τόπον τοῦ σκότους Χριστὲ μου Λόγε, μὴ δεθῶ χεῖρας καὶ πόδας μου, ἔξω τοῦ νυμφῶνός σου ῥιπτόμενος, τὸ ἔνδυμα τῆς ἀφθαρσίας, ἐρρυπωμένον ἔχων ὁ πανάθλιος.

Δεινῶν με κολαστηρίων, καὶ σκότους τοῦ ἐξωτέρου καὶ τῆς γεέννης, ταῖς σαῖς ἱκεσίαις ἐλευθέρωσον· ἔχεις γὰρ τὸ θέλειν καὶ τὸ δύνασθαι, τὸν Κύριον ὡς τετοκυῖα Παρθενομήτωρ, τὸν μόνον ὑπεράγαθον.

Ὠδὴ, ε΄. Ἐκ νυκτὸς ὀρθρίζοντα φιλάνθρωπε.

Ξενωθέντα Δέσποινα τῆς σκέπης σου, ὁ ἐχθρὸς βλέπων με, κατεκρήμνισε βυθῷ, πταισμάτων τὴν ψυχήν μου, καὶ καθορῶν με γελᾷ, ἀλλὰ βοήθησόν μοι.

Ἀνανῆψαι ποίησον τὴν τάλαιναν, ἄχραντε Δέσποινα, καὶ παμβέβηλον ψυχὴν, ἐμὴν ἐκδυσωπῶ σε, καὶ ῥῦσαι βάρους αὐτὴν, πολλῶν ἁμαρτημάτων.

ἌΝες ἄφες Κύριε καὶ σύγγνωθι, ὅσα σοι ἥμαρτον, καὶ μὴ δείξῃς με ἐκεῖ, ἐνώπιον Ἀγγέλων, ὑπόδικον τοῦ πυρὸς, πρεσβείαις τῆς Μητρός σου.

ἘΝ ἡμέρᾳ Δέσποινα τῆς Κρίσεως, πρόστηθι φάνηθι, τῶν βασάνων καὶ πυρὸς, ἐμὲ ἐλευθεροῦσα, ἵνα σωθεὶς ἀνυμνῶ, τὴν ἄμαχόν σου χάριν.

Ὠδὴ, ς΄. Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου.

Ὁ Σκοτεινὸς τοῦ ᾅδου συνέχει με, φόβος πανάχραντε ἁγνὴ, καὶ ἡ τῶν ἐρίφων μερίς με συνταράττει, ἧς με λύτρωσαι, Θεοτόκε δυσωπῶ σε.

ΝΕκρώσασα Παναγία Δέσποινα, τὸ τῆς σαρκός μου ἐμπαθὲς, ζωοποίησόν μου, ψυχὴν τὴν πανάθλιαν, καὶ ὁδήγησον ἐν ὁδῷ τῆς μετανοίας.

ΤῸν ἄσωτον ἐμὲ καὶ πανάθλιον, πρόσδεξαι Δέσποτα Χριστὲ, καὶ βασάνων ῥῦσαι, λιταῖς τῆς σὲ Τεκούσης, καὶ ἀξίωσόν με τρυφῆς τοῦ Παραδείσου.

ἹΚέσιον προσφέρω σοι δέησιν, ὁ ἀσυνείδητος ἐγὼ, καὶ τῇ σῇ προστρέχω, εὐσπλάγχνῳ συμπαθείᾳ, μή με ἀποστρέψῃς, Ἁγνὴ κατῃσχυμμένον.

Κάθισμα. Πολλὰ τὰ πλήθη τῶν.

ΤῊν μολυνθεῖσάν μου ψυχὴν, τῶν πταισμάτων τῷ πλήθει, τοῖς τῶν δακρύων ὀχετοῖς, Θεοτόκε καθάρισον, καὶ ποίησον τῶν χαρισμάτων δεκτικὴν, τοῦ Πνεύματος τοῦ Ἁγίου, ἐν σοὶ γὰρ τὰς ἐλπίδας μου ἀνέθηκα, διὸ σῶσόν με τὸν δοῦλόν σου.

Ὠδὴ,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, ζ΄. Ἡμάρτομεν, ἠνομήσαμεν.

Ὡς συμπαθῆ, ὡς φιλόψυχον, ὡς φιλεύσπλαγχνον Παρθενομῆτορ, ὅλην ὡς καθαρῶς σε γινώσκων, καταφεύγωσοι ἐγὼ ὁ πανάθλιος. ἀλλὰ μὴ ἀποστρέψῃς με τὸν δείλαιον, κατῃσχυμμένον ἐκ σοῦ.

Ἀνάνηψον ὦ ταλαίπωρε, καὶ ἀνάστηθι ψυχὴ ἀθλία, τύψον τὸ στῆθος πικρῶς στέναξον, καὶ κατάγαγε δακρύων πηγὰς, ἵνα σε ἐλεήσῃ τὴν τάλαιναν ἡ εὔσπλαγχνος Μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Προσπίπτωσοι καὶ προσάγωσοι, ὥσπερ δάκρυα τὰ ῥήματά μου, ἥμαρτον, ὡς οὐχ ἥμαρτε πόρνη, καὶ ἠνόμησα ὡς ἄλλος οὐδεὶς ἐπὶ γῆς, ἀλλ' οἰκτείρησον Δέσποτα καὶ σῶσον με, τῆς σῆς Τεκούσης λιταῖς.

Ναὸς Θεοῦ ὁ ἀχρεῖος, ἐκ Βαπτίσματος τοῦ θείου πάλαι, ὅλος καταμεμολύνθην ὁ τάλας, καὶ κατάκειμαι ἐξαίσιον πτῶμα δεινῶς, ἀλλὰ σύ με ἀνάστησον παναμωμε, ἀπεγνωσμένων ἐλπίς.

Ὠδὴ, η΄. Ὃν στρατιαὶ Οὐρανῶν.

Ὁ Ποταμὸς τοῦ πυρὸς ταράττει με, ὁ γνόφος ὁ ἀφεγγὴς ὅλον με δονεῖ, σκώληξ με καταπλήττει, ὁ τοῦ βρυγμοῦ Παρθένε, εὔροιμί σε τότε, ἀντίληψιν κραταιοτάτην.

Θείας φωνῆς ἀκοῦσαι με ποίησον, καὶ στάσεως ἐκλεκτῶν δεῖξον κοινωνὸν, πανάγνε Θεοτόκε, καὶ τῆς αἰωνιζούσης, ζωῆς ὅπως ὑμνῶσε, Ἁγνὴ ἀκαταπαύστως.

Ὕλη πυρὸς μὴ γένωμαι Κύριε, μηδὲ ἀκούσω φωνῆς σοῦ τῆς ἀποβλητικῆς, ἔχων σε λιπαροῦσαν, τὴν σὴν ἁγνὴν Μητέρα, ἧς ταῖς ἱκεσίαις ἐλέησόν με πανοικτίρμων.

Ῥεῖθρα μοι νῦν δακρύων κατάπεμψον, καὶ στεναγμὸν ἐκ ψυχῆς μου συντετριμμένης, ὅπως τὴν φλόγα σβέσω, τὴν ἄσβεστον ἐκείνην, καὶ τοῦ Παραδείσου τῆς δόξης ἐπιτύχω.

Ὠδὴ, θ΄. Ἀσπόρου συλλήψεως.

Ἡμέρα τῆς Κρίσεως, ἡ φοβερὰ ταράττει με, βρυγμὸς ὀδόντων, τήκει τὴν καρδίαν μου, ἡ στάσις παναμωμε, ἐκπλήττει τῶν εὐφρόνων· ἀλλὰ βοήθειαν ἐν δεινοῖς, εὔροιμί σε Θεοτόκε, ὅταν μέλλω κατακρίνεσθαι.

Νῦν φόβος συνέχει με, καὶ τρόμος συνταράττει με, ὁ τῆς γεέννης, καὶ τί διαπράξασθαι, οὐκ οἶδα ὁ ἄθλιος, καὶ κατακεκριμμένος· διὸ προσέρχομαί σοι θερμῇ, κατανύξει ἐκβοῶν σοι, μὴ παρίδῃς με πανάχραντε.

Ὁρῶ τὸ Κριτήριον, καὶ ἐννοῶ τὸ Βῆμα σου, Χριστέ μου τότε, ἐν ᾧ μέλλω κρίνεσθαι, αἰθύσας τῶν πραττέων, ὁ κατακεκριμμένος. ἀλλ' ἔχω πρέσβιν πρὸς οἰκτιρμοὺς, τοὺς πολλοὺς σου δυσωποῦσαν, τὴν Θεόνυμφον Μητέρα σου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Νοητῶς ἐφάπτομαι, τῶν σῶν ἰχνῶν Παναμώμε, ἐκδυσωπῶν σε, πρόσδεξαι τὸν θρῆνόν μου, τὸν ὕμνον ἐνώτισαι, καὶ τῶν πταισμάτων λύσιν, παρὰ τοῦ πάντων δημιουργοῦ, καὶ Υἱοῦ σου αἴτησόν μοι, ἵνα πόθῳ μεγαλύνω σε.

Στιχηρὰ Προσόμοια. Ὅλην ἀποθέμενοι.

Ὁ Γάμος ηὐτρέπισται, τοῦ Οὐρανίου Νυμφίου· οἱ κήρυκες κράζουσι, τί ψυχὴ βραδύνεις σου τὴν διόρθωσιν; ῥυπαρὰ πάντα σου, ἀληθῶς ὑπάρχει, ἀσελγείαις τὰ ἱμάτια, καὶ πῶς ταλαίπωρε; μέλλεις εἰσελθεῖν δεῦρο πρόσπεσον, πρὸ τέλους ἐκ καρδίας σου, τῇ Ἀειπαρθένῳ κραυγάζουσα, ὑσσώπῳ πρεσβείας, ῥαντίσασα καθάρισον ἁγνή, καὶ τοῦ νυμφῶνος ἀξίωσον, ὅπως μεγαλύνω σε.

Στῆσόν μου Πανάχραντε, τὰς τῶν παθῶν διαχύσεις, καὶ ῥοὰς ἀνάστειλον, τὰς τῆς ἁμαρτίας μου, καὶ χειμάρρους μου, τῶν παθῶν ξήρανον. ἱκετεύω γάρ σε, καὶ προσπίπτω καὶ κραυγάζω σοι· Ἴασαι Δέσποινα, τὴν πεπωρωμένην καρδίαν μου, πηγάς μοι κατανύξεως, καὶ δακρύων ὄμβρους παρέχουσα, ἵνα τάς τε χεῖρας, καὶ ὅλον μου τὸ σῶμα ῥυπωθέν, τούτοις ἐκπλύνων τὸ ἔλεος, Θεοῦ ἐπισπάσωμαι.

Κλαίω καὶ ὀδύρομαι, ὅταν εἰς αἴσθησιν ἔλθω, τὸ πῦρ τὸ αἰώνιον, σκότος τὸ ἐξώτερον καὶ τὸν τάρταρον, τὸν δεινὸν σκώληκα, τὸν βρυγμὸν αὖθίς τε, τῶν ὀδόντων καὶ τὴν ἄπαυστον, ὀδύνην μέλλουσαν, ἔσεσθαι τοῖς ἄμετρα πταίσασι, καὶ σὲ τὸν ὑπεράγαθον, γνώμῃ πονηρᾷ παροργίσασιν, ὧν εἷς τε καὶ πρῶτος, ὑπάρχω ὁ ταλαίπωρος ἐγώ, ἀλλὰ λιταῖς τῆς Τεκούσης σε, σῶσόν με ὡς εὔσπλαγχνος.

Δέξαι μου τὴν δέησιν, Θεοκυῆτορ Παρθένε, καὶ μὴ ἀπορρίψῃς με, ἀπὸ τοῦ προσώπου σου τὸν ἀνάξιον· ὡς οὐδεὶς ἄλλος γάρ, ἐπὶ γῆς ἄγνωσα, ἐν ἀνθρώποις ἐπλημμέλησα· διὸ τὴν θείαν σου, χάριν ἐξαιτῶ ὁ πανάθλιος, προφθάσασα οἰκτείρησον, τὸν ὀδυνηρῶς συνεχόμενον· καὶ μή με εἰς τέλος, ἐάσῃς κινδυνεύειν, πλὴν σοῦ γάρ, οὐκ ἔχω ἄλλην βοήθειαν, μετὰ τὸν Σωτῆρά μου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂ ΤΡΙ'ΤΗ, Ε'ΣΠΕ'ΡΑΣ,

## ΚΑΝΩ'Ν ΕΙ'Σ ΤΗ'Ν

# Υ'ΠΕΡΑΓΙ'ΑΝ ΘΕΟΤΟ'ΚΟΝ.

Ω'δὴ, ά. ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

ΦΩτὸς δοχεῖον Παρθένε τοῦ ἐκ φωτὸς, προανάρχου λάμψαντος, φωτοδότου Ἰησοῦ, τῇ ζοφώδει πέμψον μου ψυχῇ, μετανοίας ἀληθοῦς φαιδρὸν ἀμάρυγμα.

ΣΥ' τῆς ἀθλίας ψυχῆς μου ἀναψυχὴ, σὺ καὶ ἀγαλλίαμα τῆς καρδίας μου Ἁγνὴ, ῥυομένη πάντων με δεινῶν, καὶ φρουρὸς καὶ βοηθὸς καὶ σωτηρία μου.

ΣΩ͂μα ψυχήν τε καὶ πνεῦμα λίαν δεινῶς, ὁ δεινὸς ἐμόλυνα, ὡς ὁ ἄσωτος τὸ πρὶν, ἀσωτείας πράξεσιν αἰσχραῖς, ἀλλὰ δέξαι με Χριστὲ μετανοοῦντά σοι.

ΝΥ͂ν ἐμαυτὸν ἀποκλαίω ὅτε οὐδὲν, τὸ δακρύων ὄφελος· τοῦ θανάτου γὰρ τομὴ, ἐπὶ θύραις ἕστηκεν ἰδού. σὺ δὲ μόνη μοι ἐλπὶς, Ἁγνὴ καὶ σῶσόν με.

Ω'δὴ, γ'. Οὐκ ἔστιν ἅγιος.

ΠΗγὴν δακρύων τοῖς ἐμοῖς, ὀφθαλμοῖς Θεοτόκε, ὕδωρ τῇ κεφαλῇ μου, ὄμβρους τε καὶ ὀχετοὺς, παράσχου τοὺς πειρατὰς, τῆς ψυχῆς μου τούτοις ἀποπνίγουσα.

Η' Φλὸξ ἐκείνη τοῦ πυρὸς, θορυβεῖ τὴν ψυχήν μου, καὶ θροεῖ με τὸ Βῆμα, τὸ φρικῶδες τοῦ Κριτοῦ, ἀλλ' ὅμως πράττω κακῶς, ὥσπερ εἴ τις αὖθις καὶ φρενόληπτος.

ΟΥ'κ ἔστιν ἄνθρωπος ἐν γῇ, ὡς ἐγὼ πλημμελήσας, καὶ ψυχὴν ἀμαυρώσας, καὶ τὸν μόνον ἀγαθὸν, σὲ παροργίσας Χριστὲ, ἀλλ' ὡς μόνος σῶσόν με φιλάνθρωπος.

ΔΑκρύων δός μοι δαψιλῶς, προχοὴν Θεοτόκε, καὶ ἀξίωσον βρέχειν, ἐν ἡμέρᾳ καὶ νυκτὶ, τὴν κλίνην μου καὶ στρωμνὴν, ὅπως τύχω διὰ σοῦ ἀφέσεως.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, δ'. Χριστός μου δύναμις.

ΣΤολὴν ἐνδέδυμαι, τὴν θεοΰφαντον, καὶ λαμπρὰν ἀφθαρσίας περιβολὴν, τῷ θείῳ Βαπτίσματι, τοῖς μολυσμοῖς δὲ τῶν παθῶν, ἐγυμνώθην τοῦ χαρίσματος.

ἈΝόμοις πράξεσιν, οὐκ ἔστιν ἄνθρωπος, ἐπὶ γῆς παναθλίως βεβιωκὼς, ὃν οὐχ ὑπερβέβηκα, σὺ δὲ πανάγαθε ἁγνὴ, σωτηρίας με ἀξίωσον.

ΡἈνάτω δάκρυα, πάντα τὰ πέρατα, ἐπ' ἐμοὶ τῷ ἀθλίῳ, βροτῶν ἐγὼ, μόνος γὰρ ἀπόλλυμαι, ταῖς ἀσωτίαις μολυνθεὶς, ἀλλ' ὡς οἶδας Σῶτερ σῶσόν με.

ἉΓία Δέσποινα, ἡμᾶς ἁγίασον, ἐν ἁγίῳ ναῷ σου τὸν σὸν Υἱὸν, πίστει ἁγιάζοντας, τὸν ἁγιάσαντα ἡμᾶς, τῇ γεννήσει τῇ ἁγίᾳ σου.

Ὠδὴ, ε'. Τῷ θείῳ φέγγει σου.

ΔΥομαι φόβῳ καὶ δειλιῶ, ὅταν τοῦ θανάτου τὴν φρικτὴν, ὥραν ἐκείνην λογίσωμαι, καὶ τὴν τοῦ Υἱοῦ σου Κόρη θείαν ὑπάντησιν, ψηφοῦντος τὴν δικαίαν καὶ τὴν ἀπόφασιν.

ΟὐΔὲν ἐκτόσου τῶν ἀγαθῶν, οὐ λόγος οὐ πρᾶξις, οὐ βουλὴ, τοῖς κατορθοῦσι προσγίνεται, διό μοι παράσχου τὴν συνεργείαν τὴν σὴν, Θεοῦ πρὸς εὐαρέστησιν Ὑπεράμωμε.

ΛΌγῳ τῷ θείῳ σου τιμηθεὶς, ὤφθην τῶν ἀλόγων ὁ τάλας καὶ πολὺ ἀλογώτερος· ὅρους γὰρ τῆς φύσεως ὑπερβέβηκα, μολύνας τὴν ψυχήν μου τοῖς παραπτώμασιν.

ἈΠὸ καρδίας ὀδυνηρᾶς, καὶ συντετριμμένης ἐκ ψυχῆς, προσφερομένην σοι δέησιν, δέξαι φιλευσπλάγχνως Μῆτερ εὐσπλάγχνου Θεοῦ, καὶ σῶσον δωρεάν με τὸν ὄντως ἄσπλαγχνον.

Ὠδὴ, ς'. Τοῦ βίου τὴν θάλασσαν.

ΚΡιτὴν δικαιότατον, ἡ γεννήσασα σεμνὴ, δικαιοπάτως δέομαι, τὴν ἐμὴν κρίσιν κρῖνον ὡς ἀγαθὴ, ἀνθ' ὧν νῦν οὐ βλέπω σε, μετὰ τέλος ὁρᾶν σε παράσχουσα μοι.

ΦΙλάγαθε Δέσποινα, τὸν φιλάγαθον Θεὸν, ὑπερφυῶς κυήσασα, τὴν ταπεινὴν ψυχήν μου ἐν ἀγαθαῖς, ἀγάθυνον πράξεσι, καὶ κακίας με ῥῦσαι τοῦ ἀλάστορος.

ΚΡιτήριον μέλλει με, διαδέχεσθαι φρικτὸν, καὶ φοβερὰ ἐξέτασις, οἴμοι Χριστὲ τί πράξω ὁ δυσμενής; τί ἀπολογήσομαι; ἱκεσίαις Μητρός σου δῶρον σῶσόν με.

ΝῦΝ μόνη μοι Πάναγνε, κατελείφθης σὺ ἐλπὶς, τῆς ὅλης σωτηρίας μου, μὴ οὖν κενὸς ἀπέλθω τῆς ἐπὶ σοὶ, προσδοκίας Δέσποινα, ἀλλὰ τύχω, ἐλέους εὐσπλαγχνίας σου.

Κά-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Βιβλιοθήκη Μηλεών

Κάθισμα. Αὐτόμελον.

Ἐλπὶς τοῦ Κόσμου ἀγαθή, Θεοτόκε Παρθένε, τὴν σὴν καὶ μόνην φοβερὰν, προστασίαν αἰτοῦμεν, σπλαγχνίσθητι εἰς ἀπερίστατον λαὸν, δυσώπησον τὸν ἐλεήμονα Θεὸν, ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν, ἐκ πάσης ἀπειλῆς, μόνη εὐλογημένη.

Ὠδὴ, ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Οὐ τολμῶ διαπετάσαι μολυνθείσας μου, τὰς χεῖρας εἰς τὸ ὕψος Ἁγνή, ἀτιμίας γὰρ, καὶ αἰσχύνης γέμουσι πολλῆς, ἐξ ἔργων ἀτίμων, ἀλλ᾿ εἰς γῆν, ἐπικαλοῦμαι κεκυφὼς τὴν σὴν βοήθειαν.

Ῥαντιζόμενόν με δάκρυσι Παναμώμε, καὶ θρήνοις συγκοπτόμενον, οἰκτειρήσασα, τῶν δακρύων ῥῦσαι τῶν πικρῶν, τῶν ἐν τῇ γεέννῃ, καὶ χαρᾶς, τῆς ἐν Παραδείσῳ καὶ τρυφῆς ποίησον μέτοχον.

Μή με στήσῃς ἐν τῇ ὥρᾳ τῇ τῆς Κρίσεως, σὺν τοῖς ἐρίφοις Δέσποτα Χριστὲ, τῆς Τεκούσης σε ἱκεσίαις τὸν ἐλεεινὸν, προβάτοις δὲ τοῖς ἐκ δεξιῶν, συναριθμήσας τῆς αὐτῶν χαρᾶς ἀξίωσον.

Ἐλεήμονα Θεὸν καὶ ὑπεράγαθον, τεκοῦσα μόνη Δέσποινα, καὶ μιμουμένη εἰς ἀεὶ τὸν ἔλεον αὐτοῦ, τὸν μόνον ἀνάξιον ἐμὲ, παντὸς ἐλέους τοῦ ἐν σοὶ ἐλέους πλήρωσον.

Ὠδὴ, η΄. Ἐκ φλογὸς τοῖς.

Ὁρατῶς τῇ εἰκόνι σου παριστάμενος, ἀοράτως δοκῶ σοι ζώσῃ παρίστασθαι, Μῆτερ τῆς ζωῆς μετὰ δέους δεόμενος, ἐχθρῶν ἀοράτων καὶ ὁρατῶν με ῥῦσαι.

Συμπαθείας ἡ ἄβυσσος ἡ ἀπέραντος, εὐσπλαγχνίας ἡ θάλασσα ἡ ἀμέτρητος, τῶν ἁμαρτωλῶν ἡ ἑτοίμη βοήθεια, σῶσόν με Παρθένε, τὸν σὸν ἀχρεῖον δοῦλον.

Ὡς ἡ πόρνη προχέω θερμῶς τὰ δάκρυα, τὸ ἱλάσθητι κράζω ὡς ὁ Τελώνης σοι, ἥμαρτον βοῶ, ὡς Υἱός σου ὁ ἄσωτος, σῶσόν με οἰκτίρμων, ἐλέους σου πελάγει.

Πονηρά μου τὰ ἔργα καὶ τὰ νοήματα. τὸ δὲ ἔλεος μέγα τῆς εὐσπλαγχνίας σου, Ἄχραντε σεμνή, ὅθεν καθικετεύω σε, ταῖς σαῖς ἱκεσίαις κολάσεώς με ῥῦσαι.

Ὠδὴ, θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Ἰδοὺ ἐξέβη πικρὰ ἀπόφασις, ἰδοὺ συκῆ ἡ ἄκαρπος ὡς ἄχρηστος τέμνεται, ἰδοὺ κλῆμα βάλλεται εἰς πῦρ τὸ ξηρὸν, νῦν ὁ ἀχρεῖος δοῦλος εἰς τὸ ἐξώτερον, σκότος ἀποπέμπεται οἰκτρῶς, Δέσποινα πρόφθασον.

Ψυχὴ ἀθλία καὶ ἀδιόρθωτε, τί ἀμελεῖς; τί μάτην τοῖς προσκαίροις προσήλωσαι; τί ῥαθύμως τὸν βίον ἀνύεις σου; ἤγγικε τοῦ θανάτου νῦν ἡ ἀπόφασις, κλαῦσον πρὸς τὴν Πανάγνον θερμῶς τοῦ οἰκτειρῆσαί σε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΛΑβὼν τὸν πλοῦτον ἐκ σοῦ τῆς χάριτος, τῆς σῆς Χριστὲ ἀσώτως μὲν αὐτὸν διεσκόρπισα, κολληθεὶς δὲ πολίταις ἐπτώχευσα, φαύλαις φιληδονίαις, λόγοις καὶ πράξεσιν, ἀλλὰ ταῖς λιταῖς τῆς σῆς Μητρὸς οἰκτίρμων σῶσόν με.

ΙΔοὺ Παρθένε Θεοχαρίτωτε, οἱ εὐτελεῖς ἀχρεῖοι καὶ ἀνάξιοι δοῦλοί σου, μακαρίζομεν καὶ μεγαλύνομεν, σὲ τὴν εὐλογημένην ὑπὸ τῆς Κτίσεως, ὡς τῶν Ἀρχαγγέλων καὶ βροτῶν Κόρη δεσπόζουσαν.

Στιχηρὰ Προσόμοια. Τριήμερος ἀνέστης Χριστέ.

ΧΑῖρε Βασιλευόντων Ἁγνὴ, τὸ κράτος τὸ ἀνίκητον. χαῖρε κλέος τῶν πιστῶς σου τὴν σεπτὴν, Εἰκόνα προσκυνούντων· χαῖρε δαιμόνων πτῶσις, καὶ τῶν ἀνθρώπων ἐπανόρθωσις.

ΧΑῖρε τῆς Ἐκκλησίας σεμνὴ, τὸ θεῖον ἐγκαλλώπισμα. χαῖρε μόνη προστασία τῶν πιστῶν, ἀγλάϊσμα Ἀγγέλων, ὑπερευλογημένη, καὶ τῶν βροτῶν τὸ καταφύγιον.

ΔΟξάζομεν Πατέρα Υἱὸν καὶ Πνεῦμα ὁμοούσιον, ἀνυμνοῦντες τὴν γεννήσασαν Χριστὸν, ἀπόρως ὑπὲρ φύσιν, καὶ μείνασαν Παρθένον, ξενοπρεπῶς μετὰ τὴν κύησιν.

ΚΙνδύνοις συνεχόμενον, καὶ θλίψεσι τὸν δοῦλόν σου, Θεοτόκε μὴ παρίδῃς ἀγαθὴ, ἀλλ' οἴκτειρον καὶ σῶσον, ἐλπὶς ἀπηλπισμένων, καὶ τῶν δεινῶν με ἐλευθέρωσον.

## ΤΗ͂Ι ΤΕΤΑ'ΡΤΗΙ ΕΣΠΕ'ΡΑΣ,

### ΚΑΝΩ'Ν ΕΙΣ ΤΗ'Ν

## ΥΠΕΡΑΓΙ'ΑΝ ΘΕΟΤΟ'ΚΟΝ.

Ὠδὴ, α'. ἦχος, πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

ΔΕ'ξαι τὴν δέησιν ταύτην ἐκ ῥυπαρῶν, χειλέων καὶ στόματος, ἀναξίου τολμηρῶς, εὐφημεῖν ὁρμήσαντος καὶ φῶς, μετανοίας Ἀγαθὴ θεῖόν μοι δώρησαι.

ΟΜβρους δακρύων μοι δίδου ταῖς προσευχαῖς, Θεομήτωρ ἄχραντε, ὅπως κλαύσωμαι θερμῶς, ἅπερ ἐπλημμέλησα ἐν γῇ, καὶ ῥυσθῶ ἀναμενούσης με κολάσεως.

Σπέ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΣΤενάξον κλαῦσον ψυχή μου καὶ σεαυτὴν, ἀπ' ἐντεῦθεν πένθησον, ἐκβοῶσα τῷ Χριστῷ, σῆς Μητρὸς Οἰκτίρμων ταῖς λιταῖς, τὴν ὑπεύθυνον φρικτῆς ῥῦσαι γεέννης με.

ΜΗ' με τὸν θρηνοῦν ἀπώσῃ ἡ τὴν πηγὴν, τοῦ ἐλέους τέξασα. ἀλλ' εὐσπλάγχνως ἀγαθὴ, σῷ ἰλέῳ ὄμματι ψυχῆς, Θεοτόκε τῆς ἐμῆς, πάθη θεράπευσον.

Ὠδὴ, γ'. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

ΣΤενάζω νῦν ὀδυνηρῶς, καὶ πικρῶς ὀλολύζω, καὶ θρηνῶ σκυθρωπάζων, καὶ πενθῶ περιπαθῶς, οὐκ ἔχω γάρ σε ὁρᾷν, Θεοτόκε, τὴν ἐμὴν παράκλησιν.

ΚΥρίως Κύριον σαρκὶ, καὶ Θεὸν παναλήθως, συλλαβοῦσα Παρθένε, Θεοτόκος ἀληθὴς, Κυριοτόκος Ἁγνὴ, ἀνεδείχθης, καὶ μακαρίζομέν σε.

ΟΥ'κ ἔχω πράξεις ἀγαθὰς, οὐ κατάνυξιν ὅλως, οὐδὲ δάκρυα Λόγε, ἀλλ' ἐσκοτίσθην τὸν νοῦν. ἀλλὰ λιταῖς σῆς Μητρὸς, μή με κρίνῃς τὸν αὐτοκατάκριτον.

Α'Γία Δέσποινα ἐμὲ, τὸν ὑπεύθυνον πάσης, ἐξελοῦ καταδίκης, παῤῥησίαν πρὸς Θεὸν, ὡς ἔχουσα μητρικὴν, καὶ νυμφῶνι, τότε με κατάταξον.

Ὠδὴ, δ'. Χριστός μου δύναμις.

ΡΌθήν μοι δώρησαι, δακρύων Δέσποινα, ὅπως πλυνῶ τὸν ῥύπον τὸν τῆς ψυχῆς, καὶ εὕρω ὁ ἄθλιος, ὅπερ ἀπώλεσα κάλλος, συμβουλίᾳ τῇ τοῦ ὄφεως.

ΕΜὲ τὸν ἄσωτον, ἐμὲ τὸν δείλαιον, τὸν πολλά σοι ἀφρόνως καὶ ἀναιδῶς, πταίσαντα Πανάμωμε, κατοικτειρήσασα σῶσον, καὶ γεέννης ἐλευθέρωσον.

ΘΕέ μου εὔσπλαγχνε, Χριστὲ φιλάνθρωπε, θεληταὶ τοῦ ἐλέους, νῦν ἐπ' ἐμοὶ, ῥᾶνον σου τὸ ἔλεος, ἐκδυσωπεῖ σε ἡ ἐλπὶς, καὶ προστάτις μου καὶ Μήτηρ σου.

ΣΤαγόνας πρόσδεξαι, τὰς τῶν δακρύων μου, καὶ μικράν μοι σταγόνα σῶν οἰκτιρμῶν, Δέσποινα ἐπίσταξον, ὅπως ἐκεῖ μὴ δεηθῶ, ἐν πυρὶ σταγόνος ὕδατος.

Ὠδὴ, ε'. Τῷ θείῳ φέγγει σου.

ΠΕνθοῦντας πένθος θεοφιλὲς, καὶ τοὺς ἐν τῷ Πνεύματι πτωχοὺς, Θεὸς ὁ μόνος μακάριος, μακαρίζει ὅθεν ψυχή μου πένθησον, ὡς ἂν παρακληθήσῃ ἐκεῖ αἰώνια.

ΑΓνὴ καὶ σώματι καὶ ψυχῇ, Πάναγνε φανεῖσα, τὴν ἐμὴν ψυχὴν λαγνεύουσαν κάθαρον, ποίησον ἁγνεύειν καὶ καθοδήγησον, τελεῖν με τοῦ Κυρίου τὸ θεῖον θέλημα.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΣΤήλη τὶς ἄψυχος καὶ νεκρὰ, τῆς Χριστιανῶν ἀναστροφῆς, μόνῳ τῷ ἔξωθεν πλάσματι, πέφυκα ὁ τάλας ἐνσεμνυνόμενος. σὺ οὖν μεταβαλών με, Σῶτερ μου ζώωσον.

ΣΕ μόνην ἔχω καταφυγὴν, καὶ πρὸς τὸν Θεὸν καταλλαγὴν, ὁ ἐν πολλοῖς πλημμελήμασιν, ἅπαν τὸ τοῦ βίου ἀνύσας στάδιον. διό με Θεοτόκε σὺ κατοικτείρησον.

Ὠδὴ, ς΄. Τοῦ βίου τὴν θάλασσαν.

ΚΑτεύθυνον Δέσποινα, τὸν πικρόν μου στεναγμὸν, καὶ τῶν χειρῶν τὴν ἔπαρσιν, ὥσπερ θυσίαν εὔοσμον, καὶ τὴν σὴν, ἀξίωσον μόρφωσιν, καθαρῷ συνειδότι ἐνοπτρίζεσθαι.

ἈΔάμας καὶ σίδηρος, καὶ ἡ φύσις τῶν πετρῶν, κἂν ἡ σκληρὰ καὶ ἄτεκτος, ὅμως κοινῶς ὑπείκοντες σταλαγμοῖς, ῥανίσι κοιλαίνονται, ἡ σκληρὰ δὲ ψυχή μου οὐ μαλάσσεται.

ῬΟὴν τῶν δακρύων μου, τὴν μικρὰν καὶ πενιχρὰν, προσδεξαμένη Δέσποινα, ὡς ἐκλεκτὸν εὐῶδες καὶ καθαρὸν, μύρον καὶ θυμίαμα, τῆς δυσώδους με ῥῦσαι παθῶν σχέσεως.

ὙΠέκυψα πάθεσι, μακρυνθεὶς ἀπὸ Θεοῦ, ἀσώτως ὁ πανάθλιος, ὃν δυσώπησον σῶσαί με Ἀγαθὴ, πρὸς σὲ γὰρ κατέφυγα, καὶ στολαῖς με ταῖς πρώτην καταλάμπρυνον.

Ὠδὴ, ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

ἈΝομίας ἐργαστήριον γεγένημαι, καὶ πάσης ἐργασίας αἰσχρᾶς καταγώγιον, καὶ δοχεῖον φαύλων ἐννοιῶν. ἀλλ' ὦ πολυύμνητε Ἁγνὴ, δοχεῖον Ἅγιον Θεοῦ σύ με ἁγίασον.

ὈΔυρόμενος καὶ θρήνοις συγκοπτόμενος, καὶ δάκρυσι ῥαινόμενος, ἱκετεύω σε Παναγία ὅταν ἐν πυρὶ, καὶ δόξῃ φρικώδει τοῦ Πατρὸς, ἔλθῃ ὁ σὸς Υἱὸς ἐν γῇ μὴ ἐπιλάθου μου.

ἘΜαυτὸν ἀποκηρύττω ὁ κατάκριτος. οὐ χρήζω κατηγόρων Χριστὲ, τὴν αἰσχύνην περιφέρω ἔλεγχον πικρὸν, καὶ ῥάκει ἐνδέδυμαι δεινῶς, τὰ τῆς κακίας προφανῶς ὁ ἀδιόρθωτος.

ἩΤὸ φῶς τὸ ἐκ φωτὸς ἀποκυήσασα, Νεφέλη πανυπέρφωτε, φωταγώγησον, σκοτισθεῖσαν πάθεσι πολλοῖς, ψυχὴν, καὶ ταῖς σαῖς μαρμαρυγαῖς, καὶ τοῦ ἐκλάμψαντος ἐκ σοῦ φωτός με φαίδρυνον.

Ὠδὴ, η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις.

ΝΟμοθέτην τεκοῦσα Κόρη φιλάγαθον, διὰ σπλάγχνα ἐλέους νομοθετήσαντα, τῶν ἀνομιῶν τοῖς ἀνόμοις τὴν ἄφεσιν, τὸν παρανομοῦντα ἀεὶ ἐλέησόν με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἀλοχεύτως τὸν Λόγον ἡ σωματώσασα, ὑπὲρ λόγον Παρθένε καὶ ὑπὲρ ἔννοιαν, λόγον ἀγαθὸν ἐν ἡμέρᾳ δὸς Κρίσεως, ὑπὲρ ὧν ἐσφάλην ἐν ἔργῳ καὶ ἐν λόγῳ.

Τῆς συκῆς τῆς ἀκάρπου εἰκόνα φέρουσα, πανάθλια ψυχή μου ἄκαρπος ἔμεινας, σπεῦσον οὖν καρπὸν ἐνεγκεῖν ἐπιγνώσεως, ὅπως μὴ κοπεῖσα, εἰς πῦρ ἀποπεμφθήσῃ.

Φοβερόν σου τὸ Βῆμα Λόγε προάναρχε, φοβερὰ ἡ ὀργή σου καὶ ἀνυπόστατος, τοῖς ἁμαρτωλοῖς καὶ αἰσχρῶς βιοτεύσασιν, ὧν τῆς μοίρας τότε, ῥῦσαί με πανοικτίρμων.

Νοητὸν τῆς γεέννης πῦρ ἀπεκδέχεται, αἰσθητὴν τῆς σαρκός μου φλόγα καὶ πύρωσιν, ὕλης τῷ πυρί, τῷ αὔλῳ τὸ ἄϋλον, ὧν περ ἀμφοτέρων Παρθένε λύτρωσαί με.

Ὠδὴ, θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Παράστησόν με ἁγνὸν ὑπέραγνε, τῷ ἐξ ἁγνῶν λαγόνων σου ἁγνῶς ἀνατείλαντι, ἁγνισθέντα καὶ σῶμα νοῦν καὶ ψυχὴν, δάκρυσι μετανοίας, καὶ χρηματίσαντα, Πνεύματος Υἱοῦ τε καὶ Πατρὸς Ναὸν ἀμόλυντον.

Νυμφὼν τοῦ Λόγου Κόρη ὁλόφωτε, χρυσοφαὴς λυχνία πορφυρόμορφε θάλαμε, λογικὲ ἀχειρόπλοκε ζῶσα σκηνὴ, ἔμψυχε Θεοῦ Θρόνε, πύρινον ὄχημα, πάγχρυσε πασὰς περικαλλὴς, Δέσποινα σῶσόν με.

Φρικτῇ κολάσει εἰμὶ ὑπεύθυνος, ζῶν ἀμελῶς καὶ βίον ἀνύων παμβέβηλον. ἀλλ᾽ ὁ αἴρων τοῦ Κόσμου τὰ πταίσματα, δέξαι μου τὴν ταχίστην ἐξομολόγησιν, καὶ ταῖς ἱκεσίαις σῆς Μητρὸς πυρός με λύτρωσαι.

Ἰδοὺ προσπίπτω σοι Παναμώμητε, πίστει θερμῇ τὴν ἄκραν τῆς ψυχῆς μου ἀπόγνωσιν, εἰς τὸ μέγα καὶ ἄπειρον πέλαγος, τῆς σῆς ἀγαθωσύνης καὶ τῆς χρηστότητος, ῥίψας καὶ βοῶ σοι ἐν κλαυθμῷ σῶσόν με Δέσποινα.

Στιχηρὰ Προσόμοια. Ἡ ἀπεγνωσμένη.

Τίς ἐμὲ μὴ κλαύσῃ τὸν παραβάντα, ἐντολὴν Δεσπότου δι᾽ ἀκρασίαν. τὸν ᾅδην οἰκήσαντα ἀντὶ τοῦ Παραδείσου. βρῶσις γλυκεῖά μοι φανεῖσα εἰς χολὴν μετετράπη. ξένος τῆς δόξης σου Οἰκτίρμων, καὶ Ἀγγέλων ἐδείχθην. ἀλλὰ δέξαι με μετανοοῦντα, ταῖς ἱκεσίαις τῆς Τεκούσης σε Κύριε, διὰ τὸ μέγα σου ἔλεος.

Ἄνοιξόν μοι θύραν τῆς μετανοίας, δός μοι Παναγία πηγὴν δακρύων. παράσχου κατάνυξιν καὶ σώφρονα καρδίαν. σὲ γὰρ βεβαίαν προστασίαν, ἐπιγράφομαι μόνην, πᾶσαν ἐπὶ σὲ τὴν προσδοκίαν καὶ ἐλπίδα μου φέρω, μὴ ἀπώσῃ με κατῃσχυμμένον, ἀλλὰ πρόσδεξαι καὶ διάσωσον Δέσποινα, διὰ τὸ μέγα σου ἔλεος.

Ῥύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΡΥ̓͂σαί με γεέννης ἀποκειμένης, ἐξελοῦ πυρός με τοῦ αἰωνίου, Κραταιὲ δικαιότατε τὸν κατακεκριμμένον, δεῖξον ἐκ ζάλης ἐναντίας, ἀνάλωτόν με Λόγε, τρέμω ὁ τάλας ἐννοῶν μου, τὸ τῶν πταισμάτων πλῆθος, καὶ προσπίπτωσοι μετὰ δακρύων, καὶ συντριβῆς τῆς καρδίας μου, τὸ σὸν αἰτούμενος ἔλεος.

ΤὈν κατεγνωσμένον ταῖς ἁμαρτίαις, καὶ ἐσπιλωμένον ταῖς ἀνομίαις, τὸν καταφρονήσαντα Θεοῦ τῶν προσαγμάτων, ἴδε καὶ μή με ἀποῤῥίψῃς, ἀπὸ τοῦ σοῦ προσώπου. σὺ γὰρ ὑπάρχεις Θεοτόκε, ἐλπίς μου καὶ προστάτις. διὸ πρόσχες μου ταῖς ἱκεσίαις, καὶ ἀπὸ πάσης με κηλῖδος καθάρισον, διὰ τὸ μέγα σου ἔλεος.

## ΤΗ͂Ι ΠΈΜΠΤΗΙ ἙΣΠΈΡΑΣ.

### ΚΑΝῺΝ ΕἸΣ ΤῊΝ ΠΑΝΎΜΝΗΤΟΝ ΘΕΟΤΌΚΟΝ.

Ὠδὴ, ά. ἦχος, πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

ΣῈ Παναγία Παρθένε πρὸς τὸν ἐκ σοῦ, σαρκωθέντα Κύριον, μεσιτείαν εὐμενῆ, καὶ πρεσβείαν ἄμαχον κινῶ, τὴν ἐλπίδα τῶν Πιστῶν, τὴν ἀκαταίσχυντον.

ΤῸν ἀναλλοίωτον Λόγον δίχα τροπῆς, ὑπὲρ λόγον τέξασα, πεπονθότα με δεινὴν, ἐκ παθῶν ἀλλοίωσιν Ἁγνὴ, σὺ ἀλλοίωσον καὶ σῶσόν με ὡς εὔσπλαγχνος.

Ὁ Δικαιώσας τελώνην καὶ τὸν λῃστὴν, καὶ τὴν πόρνην Κύριε, προσελθοῦσαν ἐν κλαυθμῷ, ὥσπερ μύρον πρόσδεξαι κἀμοῦ, τῶν δακρύων τὴν ῥοὴν ὡς πολυέλεος.

ΥΠὸ πολλῆς εὐσπλαγχνίας καὶ τῆς ἐν σοὶ, ἀπείρου χρηστότητος, καμπτομένη φυσικῶς, εὐμενές μοι βλέψον ἀγαθὴ, καὶ παθῶν με τῆς πικρᾶς δουλείας λύτρωσαι. Ὠδὴ, γ΄. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

ΜΙάνας σῶμα καὶ ψυχὴν, καὶ ῥυπώσας τὸ πνεῦμα, ἡδοναῖς ἀκαθάρτοις, τὴν ἀμίαντον σκηνὴν, τοῦ Βασιλέως Χριστοῦ, δυσωπῶ σε, κάθαρόν με Δέσποινα.

ΣΤενάζω μὲν ὀδυνηρῶς, καὶ πικρῶς ὀλολύζω, καὶ δακρύω πολλάκις· ὅμως μέντοι τοῖς αὐτοῖς, προσεπιμένω κακοῖς, Θεοτόκε, δωρεάν με οἴκτειρον.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Μυρίοις πάθεσιν ἑκὼν, ὑπουργήσας ἐκ βρέφους, καὶ τὴν σάρκα μολύνας, ἠχρείωσα τὴν ψυχήν, ἀλλ᾽ ἵλεώς μοι γενοῦ, ἱκεσίαις Σῶτερ τῆς Τεκούσης σε.

Λιμὴν γενοῦ μοι καὶ φρουρὸς, ταῖς δειναῖς τρικυμίαις, τῶν παθῶν ἀνενδότως, χειμαζομένῳ ἀεὶ, ἐν τῇ θαλάσσῃ οἰκτρῶς, τῇ τοῦ βίου, μόνη Ἀειπάρθενε.

Ὠδὴ, δ΄. Χριστός μου δύναμις.

Τὴν μόνην ἄχραντον, τὴν μόνην Ἄσπιλον, ἱκετεύωσε Κόρη τῶν ἡδονῶν, σπιλωθεῖσα πάθεσι, καὶ μολυνθεῖσα τὴν ψυχὴν, ταῖς πρεσβείαις ἀποκάθαρον.

Μαρία Πάναγνε, παθῶν τὴν σύγχυσιν, τῆς ἐμῆς διανοίας, καὶ πειρασμῶν, ζάλην διασκέδασον, τῆς ἀπαθείας τὴν πηγὴν, ἀνεκφράστως ἡ κυήσασα.

Ψυχή μου στέναξον, ψυχή μου δάκρυσον, ταπεινή μου καρδία τοῦ ἀγαθοῦ, ἀνενδότως βόησον, ἱλάσθητί μοι ὁ Θεὸς, καὶ εἰς πῦρ μὴ κατακρίνῃς με.

Πλουσίως δώρησαι, τοὺς οἰκτιρμούς σου μοὶ, τῷ ἐν πίστει καὶ πόθῳ τῷ σῷ ναῷ, ἄχραντε προστρέχοντι, καὶ ἐκ παντοίων πειρασμῶν, καὶ τῶν θλίψεων με λύτρωσαι.

Ὠδὴ, ε΄. Τῷ θείῳ φέγγει σου.

Ψυχήν μου ἴασαι ἀγαθὴ, τὴν περιπεσοῦσαν τοῖς λῃσταῖς, τῆς συμπαθείας μοι ἔλαιον, στάζουσα καὶ οἶνον τῆς εὐσπλαγχνίας τῆς σῆς, γνωρίσματα ἀφθόνως παρεχομένη μοι.

Ῥανίδα μίαν ἐκ τῶν πηγῶν, τῶν ἀδαπανήτων Παρθένε, τοῦ σοῦ ἐλέους ἐπίσταξον, τῇ πεπωρωμένῃ ψυχῇ μου δέομαι, καὶ δάκρυα πηγάζειν αὐτὴν ἀξίωσον.

Οἴμοι ψυχή μου τί ἀμελεῖς; ἔχουσα καιρὸν ἐπιστροφῆς. τί οὖν καθεύδεις ταλαίπωρε; ἔγειραι καὶ κλαῦσον πικρῶς βοῶσα Θεῷ. ἱλάσθητί μοι Σῶτερ τῇ εὐσπλαγχνίᾳ σου.

Ἡ νὺξ ἀσέληνος ἡ δὲ ναῦς, μέσον τοῦ πελάγους τῶν παθῶν. ἡ καταιγὶς ἀγριαίνουσα, νοῦς ὁ κυβερνήτης καμὼν ἠτόνησε, πρὶν ἢ βυθὸς καλύψῃ, Δέσποινα σῶσον με.

Ὠδὴ, ς΄. Τοῦ βίου τὴν θάλασσαν.

Μὴ κῦμα καλύψῃ με, μὴ ποντίσῃ καταιγὶς, μὴ ἀφανίσῃ πέλαγος, μὴ καταδύσῃ θάλασσα καὶ βυθὸς, πικρᾶς ἀπογνώσεως, ἁλμυρᾶς ἀπωλείας Κόρη Πάναγνε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΙΛύσαι με λύτρωσαι, καὶ βορβόρου καὶ πηλοῦ, τῶν σαρκικῶν ὀρέξεων, καὶ ἡδονῶν Παρθένε τῶν ἐμπαθῶν, μακρὰν ἐξορίζουσα, τοὺς αἰσχροὺς λογισμοὺς τῆς διανοίας μου.

ΨΥχὴν κατερρύπωσα, παραλόγοις ἡδοναῖς, ἀπωλόμενος ὁ ἄθλιος, καὶ μολύνας τὸ σῶμα ἔργοις αἰσχροῖς, ἀλλ' ὦ πολυεύσπλαγχνε, μὴ παρίδῃς με ὅλον κινδυνεύοντα.

ΟΠᾶσιν ἀχώρητος, ὁ ἀόρατος Θεὸς, ὁ ἀναφὴς ὁ ἄναρχος, ἀρχὴν ἐκ σοῦ ὑπέστη, καὶ ὁρατὸς, ἡμῖν Κόρη γέγονε, σὲ κοσμήσας ἀπείροις ἀξιώμασιν.

Ὠδὴ, ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

ΙΛαστήριον κεκτήμεθά σε πάντοτε, πρὸς Κύριον ἐν πᾶσι δεινοῖς· διὸ αἴτησαι, τοῦ ῥυσθῆναι πάντων τῶν ἐκεῖ, κολάσεων Ἄχραντε φρικτῶν, τοὺς Θεοτόκον ἀληθῆ ὁμολογοῦντάς σε.

ΙΚετεύουσα μὴ παύσῃ τὸν φιλάνθρωπον, Θεὸν ἡμῶν πανάμωμε, ὅπως λάβωμεν παντελῆ συγχώρησιν ἀεὶ, καὶ τύχωμεν τῶν ἐν Οὐρανοῖς, ἡτοιμασμένων ἀγαθῶν, δι' εὐσπλαγχνίαν αὐτοῦ.

ΗΕὐκταίας σου φωνὴ ἡ τοὺς Δικαίους σου, καλοῦσα καταλάβοι με, τῇ ἀποφάσει μὴ ὑποβληθεῖσαν τῶν ἁμαρτωλῶν· καὶ γὰρ εἰ καὶ ἥμαρτον εἰς σὲ, ἀλλ' οὐκ ἀπέστην ἀπὸ σοῦ εὔσπλαγχνε Κύριε.

ΜΗ ἀφέλῃς ἀπ' ἐμοῦ Θεογεννήτρια, τὴν σκέπην καὶ ἀντίληψίν σου, ἀλλὰ γένοιο ἐν γῇ ζῶντί μοι χειραγωγὸς, ἐκλείποντι δέ μοι βοηθὸς, μεθισαμένῳ ποδηγὸς, καὶ κρινομένῳ φρουρός.

Ὠδὴ, η'. Ἐκ φλογὸς τοῖς.

ΗΠηγὴ τοῦ ἐλέους ἡ ἀδαπάνητος, τῆς χρηστότητος κρήνη ἡ ἀνεξάντλητος, τὸ τῶν οἰκτιρμῶν ἀδιόριστον πέλαγος, σῶσόν με Παρθένε ἁγία Θεοτόκε,

ΟΚρατὴρ ὁ προχέων οἶνον σωτήριον, ὁ λουτὴρ ὁ ἐκπλύνων ῥύπον ἐγκάρδιον, ὁ τῆς Θεϊκῆς χορηγὸς ἀγαθότητος, σῶσόν με Παρθένε, τὸν πόθῳ σε ὑμνοῦντα.

ΤΗς συκῆς τῆς ἀκάρπου εἰκόνα φέρουσα, παναθλία ψυχή μου, ἄκαρπος ἔμεινας, σπεῦσον οὖν καρπὸν ἐνεγκεῖν ἐπιγνώσεως, ὅπως μὴ κοπεῖσα, εἰς πῦρ ἀποπεμφθήσῃ.

ΤΑ βαρέα φορτία τῶν ἐγκλημάτων μου, ἐπαυχένιος φέρων κράζω τὸ ἥμαρτον, καὶ ἀναισθητῶν ἐπαίρομαι τοῖς χείροσιν, ἴδε μου τὴν θλῖψιν Χριστὲ καὶ λύτρωσαί με.

ΝΑὸς Ἅγιος οὖσα καὶ καθαρώτατος, τοῦ Ἁγίου Ἁγία Δέσποινα Πνεύματος, καθαρὸν κἀμοῦ τὸν ναὸν ἁγιάζουσα, τὸν βεβηλωθέντα, ἐννοίαις ἐναγέσιν.

Ὠδὴ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠιδὴ, θ'. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Ἡ Γῆ πρὸς γῆν με, ὁ χοῦς εἰς βόρβορον, συγκατασπᾷ ὁ ῥοῦς τῶν ἡδονῶν παρασύρει με, ὁ τοῦ βίου σκοτεινὸς χειμάζει με πλοῦς, ὁ νοῦς ἰλιγγιάσας ἤδη βυθίζεται, κλῖνον μοι Παρθένε τὸ σὸν οὖς, τάχυνον σῶσόν με.

Νοΐ καὶ πνεύματι, καὶ καρδίᾳ σε, καὶ τῇ ψυχῇ καὶ σώματι, καὶ γλώσσῃ καὶ χείλεσι, λογισμῷ καὶ ἐννοίας κινήμασι, Λόγου Θεοῦ Μητέρα ἄνανδρον ἄφθορον, καθομολογοῦμέ σε Μαριὰμ καὶ μεγαλύνομέ σε.

Χειρί σου πλάσας με τὸν Παράδεισον, ὥστε τερπνὸν ἐπέταξάς με Λόγε ἀνάκτορον. ἀλλ' ἐκεῖθεν ἀθλίως ἐκπέπτωκα, παραβὰς σου τὸν λόγον, νῦν δὲ τὸν λόγον μου, δέξαι καὶ πρὸς τοῦτόν με Σωτὴρ πάλιν εἰσάγαγε.

Ἀγνὴ ὑμνοῦμέν πάντες καὶ εὐλογοῦμέν σε, οἱ Βασιλεῖς ἀρχόμενοι Κριταὶ καὶ οἱ Ἄρχοντες, νεανίσκοι παρθένοι πρεσβύτεροι, μετὰ τῶν νεωτέρων, γῆ καὶ Οὐράνια, Ἄγγελοι καὶ ἄνθρωποι κοινῶς Μαρία Δέσποινα.

Στιχηρὰ Προσόμοια. Ἡ ἀπεγνωσμένη.

Οἱ ἀπεγνωσμένοι τῇ ἁμαρτίᾳ, καὶ συμπεφυρμένοι τῇ διανοίᾳ, προσπίπτομεν Δέσποινα, τῇ σῇ φιλανθρωπίᾳ, πρόσχες τὸν θρῆνον τῆς καρδίας, καὶ κλαυθμὸν τῶν ὀμμάτων, δέξαι τὰς κλίσεις τῶν γονάτων, καὶ χειρῶν τὰς ἐκτάσεις, ἐλέησον σῇ εὐσπλαγχνίᾳ ὡς ἐλεήμονα τέξασα Θεὸν, Θεοκυῆτορ Παναμώμε.

Ὕμνους τῶν χειλέων μου μὴ βδελύξῃ, στεναγμοὺς καρδίας μὴ ἀθετήσῃς, μηδὲ ἀπορρίψῃς με ἀπὸ τοῦ σοῦ προσώπου. ποῦ γὰρ πορεύσομαι ἐκτός σου, σωτηρίαν εὑρέσθαι; τίς δὲ πυρὸς τοῦ αἰωνίου ἀφαρπάσῃ με πλὴν σου; εἰς τὸ πέλαγος τῶν οἰκτιρμῶν σου, προσπεφευγότα μὴ παρόψῃ με Δέσποινα, Θεοκυῆτορ ἀμόλυντε.

Θρήνησον ψυχή μου πρὸ τῆς ἐξόδου, πρόσπεσον τῇ Κτίσῃ ἐν μετανοίᾳ. δάκρυα προσάγουσα, ἐξ ὅλης τῆς καρδίας, κράξον Χριστῷ ἐν κατανύξει, σπλαγχνίσθητι οἰκτίρμων, δέξαι με πολλὰ ἡμαρτηκότα, μή με ἀποβδελύξῃ, μὴ παρόψῃ με δικαιοκρῖτα, μηδὲ εἰς πῦρ με ἀποπέμψῃς μακρόθυμε, διὰ τὸ μέγα σου ἔλεος.

Τῆς φιλανθρωπίας σου τὰ πελάγη, καὶ τῆς εὐσπλαγχνίας σου τὰς ἀβύσσους, καὶ τῆς ἀγαθότητος οἰκτιρμοὺς τοὺς ἀπείρους, δεῖξον Πανάχραντε Παρθένε, ἐπ' ἐμοὶ τῷ ἀθλίῳ. στῆσον ὁρμὴν τῆς ἁμαρτίας, σωφροσύνην διδοῦσα, καὶ συντήρησον κεκαθαρμένον, σὺν τῇ ψυχῇ καὶ τῷ σώματι, Θεοκυῆτορ Παναμώμε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεώ

# ΤΗ͂ ΚΥΡΙΑΚΗ͂

## ἙΣΠΕΡΑΣ, ΚΑΝΩ͂Ν

## ΕἸΣ ΤΗ͂Ν

## ὙΠΕΡΑΓΙ´ΑΝ ΘΕΟΤΟ´ΚΟΝ.

### ἮΧΟΣ ΒΑΡΥ´Σ.

Ὠδὴ, α'. Νεύσει σου πρὸς γεώδη.

ἌΒΥΣΣΟΝ εὐσπλαγχνίας, καὶ χορηγὸν συμπαθείας, καὶ πέλαγος ἄπειρον, Φιλανθρωπίας τεκοῦσα, Κόρη Φιλάγαθε ψύξον, τῶν ἀνομιῶν μου πελάγη τὰ ἄπλετα.

ῬΗμασιν εὐφημεῖν σε, καὶ ἐγκωμίοις γεραίρειν, ὁ νοῦς ὁ ἡμέτερος, ἀδυνατεῖ Πανύμνητε, ὅθεν ἀντὶ τῶν ῥημάτων, πίστιν σοι προσφέρων, αἰτῶ τὴν συγχώρησιν.

ἘΧων τὴν εὐσπλαγχνίαν, ὡς οὐσιῶδες καὶ πρῶτον, καὶ κύριον γνώρισμα, καὶ φυσικὸν ἰδίωμα, μόνε Θεὲ τῶν πατέρων, Κύριε ἐλέους ἐλέησον σῶσόν με.

ΔΕῦρο ψυχὴ ἀθλία, τῇ Θεοτόκῳ πρὸ τέλους, θερμῶς προσκυνήσωμεν, καὶ ἐκτενῶς προσπέσωμεν, ὅπως ταύτης μεσιτείαις, τύχωμεν ἐλέους ἐν ὥρᾳ τῆς Κρίσεως.

Ὠδὴ, γ'. Ὁ κατ' ἀρχὰς τοὺς Οὐρανούς.

ὩΣ ὁ λῃστὴς ἀπὸ ψυχῆς, τὸ Μνήσθητί μου σοὶ κράζω, ὡς ἡ πόρνη κλαίω καὶ θρηνῶ, ὡς ὁ Μανασσῆς βοῶ τὸ ἥμαρτον, ὡς ὁ τελώνης συνεχῶς ἀπὸ καρδίας στενάζω, Κύριε Θεέ μου σύ με οἴκτειρον.

ΔΌξα τῆς Οἰκουμένης, δεδοξασμένη Παρθένε, Θεὸν ὑπερένδοξον ἐνδόξως ἡ γεννήσασα, δόξης ἀξίωσον θείας, τοὺς ὡς Θεοτόκον σὲ δοξάζοντας.

ΜΕτὰ πυρίνων λειτουργῶν, καὶ φλογερῶν δορυφόρων, ὁπηνίκα ἥξεις Ἰησοῦ, Κριτὴς Βασιλεὺς Θεὸς αἰώνιος, τοῦ κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ, ἄξια τῶν ἔργων αὐτοῦ, σῶσόν με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΜΕμολυσμένος ἡδοναῖς, σὲ τὴν ἀμόλυντον Κόρην, ἱκετεύω ῥῦσαί με παντὸς, σαρκὸς μολυσμοῦ καὶ καθαρτήριον, πένθος μοι δὸς διηνεκὲς, καὶ τῆς φλογὸς τῆς γεέννης, δάκρυον σβεστήριον παράσχου μοι.

Ὠδὴ, δ΄. Ὁ Παθικοὺς κόλπους.

ΕΝ τῇ φρικτῇ καὶ δικαστικῇ, σοῦ παρουσίᾳ Ἰησοῦ Χριστὲ ὁ Θεὸς, τῶν Ἀγγέλων παρεστώτων σοι, καὶ πάσης τῆς Κτίσεως, δυσωπῶ σε μὴ καταισχύνῃς με.

ἘΝ πειρασμοῖς σὲ καταφυγὴν, ἐν τοῖς κινδύνοις ταχινὴν βοήθειαν, ἐν παντοίαις περιστάσεσιν, ἑτοίμην ἀντίληψιν, καὶ ὀξεῖαν Δέσποινα κέκτημαι.

ΣΑτανικοῖς βρόχοις ἡδονῶν, συμποδισθεὶς πτῶμα δεινὸν κατέπεσα. σὺ τοὺς ἐπανισαμένους μοι, πάντας Χριστὲ σύντριψον, διὰ τὴν Μητέρα σου δέομαι.

ΠΟλυανθὴς πέφηνας λειμὼν. κῆπος εὐώδης, εὐθαλὴς παράδεισος, ἡδυπνόοις καταπνέουσα, ὀσμαῖς τῶν χαρίτων σου, τὸ δυσῶδες Κόσμου Πανύμνητε.

Ὠδὴ, έ. Κύριε ὁ Θεός μου.

ἜΡγοις σε παροργίσας, καὶ ἐν λόγοις Λόγε παραπικράνας, προσπίπτω καὶ κράζω σοι, λόγῳ σου ἐξ ἔργων με τῶν ἀτίμων ῥῦσαι, πρὸς ἔργα τὰ τῆς μετανοίας ἰθύνας με.

ὌΜβρησόν μοι ῥανίδα, συμπαθείας Θεοκυῆτορ, καὶ τὰς ἁμαρτίας μου τὰς πολλὰς ἐξάλειψον, τῶν πληγῶν οὐλάς τε καὶ τύπους, ἰάσει τεκοῦσα ἀφάνισον.

ΣΤένω καὶ σκυθρωπάζω, τὰς πολυσυνάκτους μου ἁμαρτίας ἀναλογιζόμενος, διὸ προσπίπτω σοι μόνε ἀναμάρτητε Σωτὴρ, τὸν πολυαμάρτητον σῶσόν με.

ΔΕ΄σποινα Θεοτόκε, τὴν ἐμὴν ἐλπίδα καὶ προσδοκίαν, τὴν τῆς σωτηρίας μου εἰς σὲ ἀνατέθηκα, σὺ γενοῦ μοι σκέπη ἐνταῦθα, καὶ ἐν τῷ αἰῶνι τῷ μέλλοντι.

Ὠδὴ, ς΄. Ναυτιῶντα σάλῳ.

ὉΤελώνην σώσας, μόνον στεναγμὸν ἐκ καρδίας Χριστὲ σοὶ προσάξαντα, καὶ τὴν πόρνην δακρυῤῥοοῦσαν καθάρας ὁ εὔσπλαγχνος, τὰς μικρὰς ῥανίδας τῶν δακρύων, ἐμῶν δεξάμενος, κἀμὲ κάθαρον.

ὨΣ καλῶν αἰτία, ὡς τῶν ἀγαθῶν χορηγία, ὡς Λόγον παναίτιον ὑπὲρ λόγον, τῇ ἀλοχεύτῳ λοχείᾳ γεννήσασα, Ἄχραντε καλῶν με ἀϊδίων, καὶ ἐπουρανίων ἀγαθῶν ἀξίωσον.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΝΟερῶς ὁρῶσε, ἐπὶ φοβεροῦ καὶ ἀστέκτου, καθήμενον Κύριε, θρόνου δόξης καὶ παρεστῶτα, κυκλόθεν τὰ τάγματα, πάντων τῶν Ἁγίων καὶ Ἀγγέλων, δέδοικα, καὶ τρέμω ἐννοῶν τὰ ἔργα μου.

ΑΚαμάτου θείας, φύσεως δοχεῖον δειχθεῖσα, πολλά με καμόντα ταῖς ἁμαρτίαις, τῷ τῷ φορτίῳ αὐτῶν κεκμηκότα με κούφισον ἀνάπαυσον, καὶ ῥῦσαι πυρὸς ἀκαμάτου τῆς γεέννης Δέσποινα.

Κάθισμα. Ὁ δι' ἐμὲ ἀνασχόμενος.

ΤΙ'ς διηγήσεται Ἄχραντε, τὴν τῶν πταισμάτων μου ἄβυσσον, πέλαγος οὖν εὐσπλαγχνίας ὑπάρχουσα. ἱλάσθητί μοι καὶ σῶσόν με.

Ὠδὴ, ζ'. Κάμινον παῖδες.

ΑΝ'Χρηστον δένδρον, κατάξηρον κλῆμα, καὶ καταργοῦσα τὸν τόπον συκῆ, φύλλοις κομῶσα, καρπὸν δὲ οὐκ ἔχουσα ἐγώ εἰμι Κύριε. ἀλλὰ τῷ ἐλέει σου εὔκαρπον δεῖξόν με.

ΟΤε μοι θλίψις ἐγγὺς ἡ μεγάλη, ὁ βοηθῶν δὲ οὐ πάρεστι, χεῖρα μοι δὲ λυτρουμένου καὶ σώζοντος, ἐν τῷ τῆς ἐξόδου μου, Θεοτόκε καιρῷ φθάσασα σῶσόν με.

ΜΕ'γας ὁ πόνος, μεγάλη ἡ βία, καὶ ὁ ἀγὼν ὄντως μέγιστος, ὅτε ψυχὴ διαζεύγνυται σώματος, τότε με φιλάνθρωπε, σὺν τῇ Μητρί σου, δότε μοι βοήθειαν.

ΑΝω τὸ ὄμμα πρὸς σὲ τῆς καρδίας, Θεοκυῆτορ ἀνέτεινα, μή με παρίδῃς, ἀλλά μοι συγχώρησιν, τῶν χρεῶν πρυτάνευσον, Σὲ γὰρ μόνην μεσῖτιν ἐπιγράφομαι.

Ὠδὴ, η'. Ἄφλεκτος πυρί.

ΝΕύματι τῷ σῷ, τῆς ζωῆς καὶ τοῦ θανάτου ὡς κεκτημένος, τὴν ἐξουσίαν ζώντων καὶ τῶν νεκρῶν, ἡνίκα μέλλεις Κριτὴς ἐπὶ τὴν γῆν, ἐξ Οὐρανοῦ φρικτῶς κατέρχεσθαι τότε οἰκτίρμων, λιταῖς τῆς παναχράντου Μητρός σου λήθην τῶν κακῶν μου ποίησον ἑκούσιον.

ΣΕ τὸ καθαρὸν, καὶ λαμπρὸν καὶ φωτοφόρον, τοῦ Ἰησοῦ παλάτιον, καὶ λογικὸν τοῦ Λόγου σκήνωμα, τὴν ἔμψυχον Κιβωτὸν τὴν πλατυτέραν τῶν Οὐρανῶν, καὶ ἀνωτέραν τῆς γῆς, πάντιμε Κόρη ὑπέραγνε Μαρία, ἱκετεύω σῶσον τὴν ταπεινὴν ψυχήν μου.

ΧΕῖρας τῆς ψυχῆς, καὶ τοὺς πόδας δεδεμένος σειραῖς τῶν ἐγκλημάτων μου, καὶ τοῖς σχοινίοις τῶν πολλῶν μου κακῶν, ἐκδέχομαι τὴν φωνὴν τὴν ἀποπέμπουσαν εἰς τὸ πῦρ τοὺς οὕτως ἔχοντας, Σῶτερ αὐτός με οἰκτείρας, εἰπὲ τοῖς σοῖς Ἀγγέλοις, λύσατε αὐτὸν, καὶ ἐάσατε ὑπάγειν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΝΕ'ος Οὐρανὸς ἀνεδείχθης Θεοτόκε, καὶ λογικὸς Παράδεισος, ἔμψυχον τέμενος, σεπτὸν ἱερόν, παλάτιον καθαρὸν τοῦ Βασιλέως Ἰησοῦ, ναὸς περίδοξος, τοῦτον Γαστρί σου χωρήσασα ἀστενοχωρήτως, εὐρυχωροτέρα τῶν Οὐρανῶν Παρθένε.

Ὠδή, θ'. Μὴ τῆς φθορᾶς.

ΩΣ τὸν λῃστὴν διὰ μίαν φωνὴν εὐγνώμονα, τοῦ Παραδείσου ἠξίωσας ὑπεράγαθε, ὡς ἐδικαίωσας στενάξαντα τελώνην, ὡς ᾤκτειρας τὴν πόρνην δακρύσασαν, ὡσαύτως δωρεὰν κἀμὲ οἴκτειρον.

ΣΕ Παναγία Παρθένε, φρέριον ἄσυλον, τῆς δειλαίου ψυχῆς μου, καὶ τεῖχος ἄρρηκτον, καὶ καταφύγιον ἐν πάσῃ τῇ ζωῇ μου, πλουτίσας μετὰ πόνου καρδίας δέομαί σου, παράστηθι καὶ ἐκδημοῦντί μοι.

ΙΝα παθῶν ἀπολύσῃς Χριστὲ τὸν ἄνθρωπον, διὰ πολλὴν εὐσπλαγχνίαν ἄνθρωπος γέγονας, καὶ προσωμίλησας πάθεσι παθοκτόνοις, διό μου φιλανθρώπως φιλάνθρωπε τὰ πάθη, σοῖς ἀχράντοις ἴασαι πάθεσι.

ΩΣ ἀληθῶς μεγαλεῖα πολλὰ ἐποίησεν, ὁ Δυνατός σοι Παρθένε Θεογεννήτρια, ὡς προεφήτευσας, ἐκ Πνεύματος Ἁγίου, ἰδοὺ γὰρ γενεαί σε, πᾶσαι φυλαὶ καὶ γλῶσσαι, μακαρίζουσι παμμακάριστε.

Στιχηρὰ Προσόμοια. Σήμερον γρηγορεῖ ὁ Ἰούδας.

ΑΡον σου ὦ ψυχή μου τὸ ὄμμα, καὶ Θεοῦ ἐνατένισον, τῇ οἰκονομίᾳ καὶ τῇ εὐσπλαγχνίᾳ, πῶς Οὐρανοὺς κλίνας ἐπὶ τῆς γῆς κατῆλθεν, ἵνα ἀνυψώσῃ σε ἐκ τῆς ταλαιπωρίας σου τῶν παθῶν, καὶ στήσηται ἐν πέτρᾳ τῆς Πίστεως, βαβαὶ φρικτοῦ θαύματος, δόξα τῇ κενώσει σου φιλάνθρωπε.

ΥΜνον σοι καταχρέως Παρθένε, προσκομίζοντες κράζομεν, σὺ τῆς πρὸς ἀνθρώπους Θεοῦ ἐνδημίας, γέγονας αἰτία, διὰ σοῦ δὲ πάλιν δίδοται ἡμῖν, τοῦ Παραδείσου ἡ ἀπόλαυσις, μετοχὴ δὲ κρείττονος ζωῆς καὶ οὐράνιος, Βασιλεία Δέσποινα, προσθήκη τῷ ὄντι ἡ ἀσύγκριτος.

ΕΧοντες ἐπὶ σοὶ τὰς ἐλπίδας, Παντοδύναμε Κύριε, σὲ ἐκδυσωποῦμεν παντοίων κινδύνων, παθῶν τε τῆς ζάλης ἡμᾶς ἐκλυτροῦσθαι, ὅπως τὴν ζωὴν ἡμῶν, εἰρηνικῶς διάγωμεν, καὶ ἐν καθαρότητι βιώσαντες ἔξωμεν, ἐν ἡμέρᾳ Κρίσεως, εὐμενῆ σε Δέσποτα καὶ ἵλεων.

ΥΨιστον Θεὸν Λόγον τεκοῦσα Θεοτόκε Πανάχραντε, τῶν τῆς γῆς παθῶν με ὕψωσον ἐν τάχει, καὶ πρὸς ἀπαθείας ὅρμισον λιμένα, δέξαι τὰς δεήσεις μου, καὶ λόγων μοι κατάνυξιν, ὑπὲρ πάντα χάρισαι, τοῦ Κόσμου τὰ τίμια, γνώσεώς τε ῥήματα, ἵνα δι' αὐτῶν σωθεὶς δοξάζω σε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂ ΔΕΥΤΕΡΑ, ΕΣΠΕΡΑΣ,

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ

# ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

Ὠδὴ, α΄. Ἦχος Βαρύς. Νεύσει σου πρὸς γεώδη.

Ἔχουσα τῆς σοφίας, τὸν χορηγὸν πειθαρχοῦντα, ταῖς σαῖς παρακλήσεσιν, ὑποπρεπῶς ἐπίσταξον, θείαν ὑψόθεν ῥανίδα, γνώσεως κἀμοὶ Θεοτόκε ὑμνοῦντί σε.

Νέκρωσον τῆς σαρκός μου τὰς ἐνηδόνους ὀρέξεις, καὶ κοίμισον Πάναγνε τὰς ἐμπαθεῖς κινήσεις μου, καὶ τὴν ἀπονεκρωθεῖσαν ζώωσον ψυχήν μου, ζωὴν ὡς κυήσασα.

Νὺξ ἡ τῆς ἁμαρτίας, περιλαβοῦσα τὸν νοῦν μου, ζοφώδη καὶ μέλαινα καὶ σκοτεινὸν εἰργάσατο, Λόγου τῆς δικαιοσύνης, Ἥλιε φωτὶ μετανοίας με φώτισον.

Δύναμις τοῦ Ὑψίστου, σοὶ ἐπεσκίασε Κόρη, καὶ Πνεῦμα ἐπῆλθέ σοι, ἐπισκηνῶσαν ἅγιον, ὅθεν ἀφράστως τὸν ἕνα, τέτοκας σαρκὶ τῆς Τριάδος Πανύμνητε.

Ὠδὴ, γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Σὲ τὴν καλὴν ἐν γυναιξί, σὲ τὴν ὡραίαν Παρθένον, καὶ νεάνιν τὴν ὁλολαμπῆ, τὴν περικαλλῆ Κόρην καὶ ἄμωμον, ἐκδυσωπῶ τῶν ἀρετῶν ταῖς ἀρεταῖς με καλλῦναι, καὶ καθωραῖσαι καὶ λαμπρῦναι με.

Συναπτικὴ καινοτρόπως, τῶν φυσικῶς διεστώτων, καὶ ἀμίκτων μίξις οὐσιῶν, Θεοῦ καὶ ἀνθρώπου, Θεὸν ἄνθρωπον, τοῦτο κἀκεῖνο φυσικῶς ὄντα καὶ τέλειον ἄμφω, ὤφθης ὡς γεννήσασα Πανύμνητε.

Ἁμαρτωλοὺς ὁ ἐλεῶν, καὶ ἀγαπῶν τοὺς δικαίους, ὁ χρησίμως καὶ πολυτελῶς τὰ πάντα ποιῶν καὶ ἐργαζόμενος, ὁ τὴν μετάνοιαν ἡμῶν, πραγματευόμενος πάντων, δώρησαι κἀμοὶ Χριστὲ μετάνοιαν.

Ἐν ἁμαρτίαις τὴν ζωήν, καὶ ἀσωτείαις τελέσας, καταδίκης πάσης καὶ ποινῆς, ὑπόδικος γέγονα Παναχράντε, καὶ τιμωρίας χαλεπῆς. ἀλλὰ τῇ σῇ μεσιτείᾳ ῥῦσαι κατακρίσεως ἐν κρίσει με.

Ὠδὴ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, δ'. Ὁ Πατρικοὺς κόλπους.

Ἁμαρτωλῶν πάντων ἡ ἐλπὶς, ἀπηλπισμένων ἡ θερμὴ ἀντίληψις, λυπουμένων παραμύθιον, τὴν ὀδυνωμένην μου ταῖς δειναῖς ψυχὴν παραμύθησαι.

Ταπεινωθεὶς ὕψει πενιχρᾶς, κενοδοξίας οὐ τελοῦς οἰήσεως, ἐπὶ σὲ τὴν ἀνυψώσασαν, τὴν φύσιν Πανάχραντε, τὴν ταπεινωθεῖσαν προσέφυγον.

Τὸ φοβερὸν Βῆμά σου Χριστὲ, καὶ τὴν φρικτὴν κατανοῶν ἀπόφασιν, καταπλήττομαι τῷ δέει πηγνύμενος, οὐκ ἔχω γὰρ, τί ἀπολογήσομαι εὔλογον.

Μόνη ἐν σοὶ νόμοι φυσικοὶ καινοτομοῦνται παραδόξως Δέσποινα, μόνη τίκτεις βρέφος ἄσπορον, καὶ θηλάζεις γάλακτι, ἡ Παρθένος Μήτηρ καὶ ἄφθορος.

Ὠδὴ, ε'. Κύριε ὁ Θεός μου.

Ὥρα τῆς συντελείας, καὶ καιρῷ τοῦ θέρους τοῦ τελευταίου, εἰς πῦρ μὴ ἐμβάλῃς με ὥσπερ τὸ ζιζάνιον, χερσὶ θεριστῶν τῶν Ἀγγέλων, Χριστὲ τῆς Μητρός σου δεήσεσι.

Δάκρυά μοι παράσχου, ὡς τῇ πόρνῃ Δέσποινα ὁ Υἱός σου, ὄμβρους κατανύξεως, πηγάζειν ἀξιοῦσά με, ὡς ἐκ προχοῆς ἀεννάου, ἐκ τῶν ὀφθαλμῶν μου καταῤῥέοντας.

Λάμπρυνον τὴν στολήν μου, μεμελανωμένην τε καὶ ῥυπῶσαν, καὶ ἄρδευσον Κύριε ἐλαίῳ ἐλέους σου, τὴν ἀπεσβεσμένην λαμπάδα, τὴν ἐμῆς ψυχῆς ὡς ἀνέλαιον.

Ἥλιον ἡ τεκοῦσα, τῆς δικαιοσύνης κούφη νεφέλη, τὰ νέφη διάλυσον, τὰ τῆς ῥαθυμίας μου, καὶ πρὸς μετανοίας αἰθρίαν, διὰ προθυμίας με ἴθυνον.

Ὠδὴ, ς'. Ναυτιῶντα σάλῳ.

Ῥαθυμίας ὕπνῳ, καὶ τῆς ἀμελείας τῷ κάρῳ, κρατούμενος Δέσποινα οὐκ ἰσχύω, τὰ τῆς καρδίας διᾶραι μου ὄμματα, καὶ ἐνατενίσαι τῷ Ἡλίῳ, τῷ ἐκ σοῦ ἀνίσχοντι διό με φώτισον.

Νοητῶν λῃστῶν τε, καὶ ὁδοστατῶν ἀλαστόρων, πικρῶν φορολόγων Κοσμοκρατόρων, λογοθετῶν ἀερίων δυνάμεων ῥῦσαι Θεοτόκε τὴν ψυχήν μου, ὅτε πρὸς συνάντησιν αὐτῆς ἐξέλθωσι.

Προσελθοῦσαν πόρνην, ἐν συντετριμμένῃ καρδίᾳ, καὶ ζέουσι δάκρυσιν οὐκ ἀπώσω. ἀλλ' ὡς Θεὸς ἐλεήμων ἠλέησας, ἐμὲ δὲ τὸν ἄπορον δακρύων, οἴκτειρον καὶ σῶσον δωρεὰν φιλάνθρωπε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ε'Μβολαῖς πνευμάτων, καὶ ταῖς προσβολαῖς τῶν κυμάτων, τοῦ βίου χειμάζει με καὶ στροβεῖ με, ἀλληλοπαλλήλων ἀνέμων ἀντίπνοια, ῥῦσαι κυβερνῆτα Θεοῦ Μῆτερ, ἐκ θανατηφόρου τὴν ψυχήν μου κλύδωνος.

Κάθισμα. Ὁ δι' ἐμὲ ἀναχθόμενος.

Υ'Πὲρ τοῦ Κόσμου ἱκέτευε τὸν σὸν Υἱὸν Μητροπάρθενε, ὅπως ἡμᾶς λυτρώσηται, δεινῶν πειρασμῶν ὡς φιλάνθρωπος.

Ὠδὴ, ζ'. Κάμινον παῖδες.

Ε'Ντρομος ὅλος, καὶ ἔμφοβος λίαν, καὶ ἐξάνοιαν γίνομαι, ἀνατυπῶν ἐμαυτῷ τὸ Κριτήριον, τὸ ἀπαραλόγιστον, σοῦ Χριστέ μου καὶ Βῆμα τὸ ἀδέκαστον.

Ρ'Εῖθρα δακρύων, παράσχου Παρθένε, καὶ ποταμοὺς ἀναβλύζοντας, δι' ὧν ἀποκλύσωμαι, τῶν παθῶν τὸν βόρβορον, καὶ ἰλὺν τῆς ψυχῆς ἀποκαθάρω μου.

Θ'Ρόνῳ πυρίνῳ, φλογίζοντι κύκλῳ, πῶς ἀτενίσαι δυνήσομαι; πῶς ἀδεῶς ἐν αὐτῷ τὸν καθήμενον, ἰδεῖν ἀναιδεύσομαι, τὸ παντέφορον ὄμμα καὶ ἀλάθητον.

Ν'Ύκτα καθάπερ παρῆλθον τὸν βίον, ἔργα νυκτὸς ἐργαζόμενος, ὁ σκοτεινὸς τὴν ψυχὴν, ἀλλὰ φώτισον, φωτί με πρεσβείαις σου, ἡ τεκοῦσα τὸ θεῖον φῶς Πανύμνητε.

Ὠδὴ, η'. Ἄφλεκτος πυρί.

Τ'Ι οὐκ ἐνθυμῇ τῆς ἐξόδου σου τὴν ὥραν; τί οὐ δακρύεις πάντοτε; τί οὐκ ὀδύρῃ καὶ στενάζεις ἀεί; δακρύων καὶ στεναγμῶν, καὶ θρήνων ἄξια πολλῶν, καὶ κλαυθμῶν πράττουσα, ἔργα ψυχή μου, ὑπόδικα γεέννης, οἷς συγκατακαυθήσῃ, ἂν μὴ μετανοήσῃς.

Ο'Ταν κατὰ νοῦν, τὴν ἡμέραν καὶ τὴν ὥραν, τὴν φοβερὰν λογίσωμαι, τῆς ἀδεκάστου δίκης Δέσποινα, τὸν πύρινον ποταμὸν, καὶ τῶν ὀδόντων τὸν βρυγμὸν, σκότος καὶ τάρταρον, σμῆνος σκωλήκων, καὶ πᾶσαν ἑτέραν τιμωρίαν, τρόμου πεπλησμένος, τῇ σῇ προστρέχω σκέπῃ.

Μ'Ίαν τῶν τριῶν, ὑποστάσεων τῆς μόνης, καὶ ἀμεροῦς Θεότητος, ἀδιαιρέτου τε Τριάδος αὐτῆς, ἐγέννησας τὸν Χριστὸν, ἐκ σοῦ παχύτητι σαρκὸς, συντεθειμένον Ἁγνὴ, ἧπερ ἡνώθη, καθ' ἕνωσιν ἄρρητον οὐχ ἧττον, μείνας ἁπλοῦς φύσει, καθ' ὃ Θεὸς ὁ πρώην.

Σ'Ε τὸ καθαρὸν ἐνδιαίτημα τοῦ Λόγου, τὸ λογικὸν παλάτιον, τοῦ Βασιλέων Βασιλέως Χριστοῦ, τὸν ἔμψυχον Οὐρανὸν, τὴν θεοδόχον κιβωτὸν καὶ θεοφόρον σκηνὴν, ἅπας ὁ Κόσμος Παρθένε, μετὰ τῶν ἐγκωμίων, καὶ ὑπερκοσμίων, ὑμνοῦσι παγκοσμίως.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, θ'. Μὴ τῆς φθορᾶς διὰ πεῖραν.

Ἡ Γεγονυῖα Θεότητος Κόρη σκήνωμα, τὸν γεγονότα λῃστῶν ψυχοφθόρων σπήλαιον, καὶ ἐργαστήριον ἁπάσης ἀνομίας, λυτῆρι με δακρύων, ἐκπλύνασα τοῦ θείου, καταγώγιον δεῖξον Πνεύματος.

Ἰάξεικῆς ἐπιστήμης, εὔτεχνος μέθοδος, πολυειδῶν καταδέσμων ἰσχὺς δραστήριος, ἐπ' ἐμὲ ἤργησαν, οὐκ ἔστι γάρ μοι τόπος, μάλαγμα ἐπιθεῖναι, καὶ οἶνον ἐπιχέαι, ὁλοσώματον πληγὴν ἔχοντι.

Νεφελοδρόμον πτηνόν με, ἀεροπόροντε, ὡς ἀετὸν ὑψιπέτην αἰθεροβάμονα, προσυπαντῆσαι σοι, φαιδρᾶς μετὰ λαμπάδος, ἀξίωσον ἡνίκα, νυμφίος ὁ ὡραῖος, Χριστὲ ἐλεύσῃ μεσονύκτιος.

Σὲ τὴν Σιὼν τὴν ἁγίαν, ἣν ἐξελέξατο, εἰς ἑαυτοῦ κατοικίαντε ᾑρετίσατο, ὁ συναΐδιον ἔχων τὸ βασιλεύειν, Θεὸς Υἱὸς καὶ Λόγος, Θεοῦ Πατρὸς ἀνάρχου, ἱκετεύω Δέσποινα σῶσόν με.

Στιχηρὰ Προσόμοια. Σήμερον γρηγορεῖ.

Βλέπουσα τὰ παράνομα ἔργα, ὦ ψυχή μου καὶ θαύμασον, πῶς σε γῆ βαστάζει, πῶς οὐ κεραυνοῦσαι, πῶς ἄγριοι θῆρες, οὐκ ἐσθίουσί σε. πῶς δὲ καὶ ὁ Ἥλιος, ὁ ἄδυτος ἐκλάμπων σοι, ἀεὶ οὐκ ἐπαύσατο, ἀνάστα μετανόησον, βόησον πρὸς Κύριον, ἥμαρτον ἐλέησόν με.

Μερίμνας τῆς μελλούσης Παρθένε, ἐξεπάσεως δώρησαι, τῇ πεπωρωμένῃ, εἰς τέλος ψυχῇ μου, καὶ βεβυθισμένῃ, μερίμναις τοῦ βίου, σύ με τὸ φρικτὸν Βῆμα τοῦ μέλλοντος, αἰῶνος φαντάζεσθαι, Πανάχραντε ποίησον, ὅπως ἐν χαρᾷ ὑπαντήσω τῷ Κριτῇ καὶ Δεσπότῃ μου.

Γέγονα τῶν δαιμόνων μὲν γέλως, τῶν ἀνθρώπων δὲ ὄνειδος, τῶν Δικαίων θρῆνος, τῶν Ἀγγέλων πένθος, μολυσμὸς ἀέρος, καὶ γῆς καὶ ὑδάτων, σῶμα γὰρ ἐμίανα, ψυχὴν καὶ νοῦν ἐσπίλωσα, παραλόγοις πράξεσι, Θεῷ ἐχθρὸς πέφυκα, οἴμοι Κύριε ἥμαρτόν σοι, ἥμαρτον συγχώρησον.

Πλήρωσον τὴν καρδίαν μου Κόρη κατανύξεως δέομαι, δὸς καὶ τῇ ψυχῇ μου σωτήριον πένθος, τὸν θυμόν μου τρέψον, κατὰ τῶν δαιμόνων. πᾶσάν μου τὴν ἔφεσιν, μετάθες ἐπὶ Κύριον, προσευχαῖς σχολάζειν με, σύγχυσον πάντοτε, ὅπως διὰ σοῦ ζωῆς τύχω, καὶ τῆς θείας λαμπρότητος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# Τῌ͂ ΤΡΙ΄Τῌ, ἙΣΠΕ΄ΡΑΣ,

## ΚΑΝΩ΄Ν ΕἸΣ ΤΗ΅Ν

# ὙΠΕΡΑΓΙ΄ΑΝ ΘΕΟΤΟ΄ΚΟΝ.

Ὠδὴ, α'. Ἦχος βαρύς. Τῷ ἐκτινάξαντι Θεῷ.

Τὸ τῆς ζωῆς μου προορῶν, ἐφεστηκὸς τέλος Δέσποινα βοῶ, σύ μοι δίδου ἱλασμὸν τῶν πταισμάτων Θεονύμφευτε.

Ἐπὶ τὸ πέλαγος τῆς σῆς, ἀγαθωσύνης προσέδραμον βοῶν, Θεοτόκε ἀγαθή, ῥῦσαί με πάσης κολάσεως.

Μετ' εὐφροσύνης τὴν ᾠδήν, τοῦ Γαβριὴλ ἀναμέλπω σοι Ἁγνή, Χαῖρε πάντων ἡ ἐλπίς, Ἄχραντε χαῖρε Θεόνυμφε.

Δέσποινα πρόσδεξαι ἡμᾶς, τοὺς καταφεύγοντας πίστει ἐπὶ σέ, καὶ παράσχου πειρασμῶν, καὶ συμφορῶν ἀπολύτρωσιν.

Ὠδὴ, γ'. Ἐστερεώθη τῇ πίστει.

Ἡ τὸν Οὐράνιον ἄρτον, τεκοῦσα Θεοτόκε, τὸν διατρέφοντα πάντων, πιστῶν τὰς καρδίας, κόρεσον λιμώττουσαν, ψυχήν μου τὴν ταλαίπωρον.

Νενεκρωμένος Παρθένε, ψυχῆς τὰς ἐνεργείας νῦν ἀσυνέργητος μένω, νεκρὸς ὥσπερ ἄπνους, ζώωσόν με τέξασα ζωὴν τὴν ἐνυπόστατον.

Μεμολυσμένην καρδίαν, καὶ νοῦν ἐσπιλωμένον, σὺ ὡς ἀμόλυντος Νύμφη, καὶ ἄσπιλος Κόρη, κάθαρόν με Δέσποινα, ὡς Μήτηρ τοῦ Παντάνακτος.

Ῥερυπωμένον χιτῶνα, καὶ μεμελανωμένον, φορῶν τοῦ Θείου νυμφῶνος, ῥιφήσεσθαι μέλλω, λάμπρυνόν με Δέσποινα, τὸ ἔνδυμα καὶ σῶσόν με.

Ὠδὴ, δ'. Κατανοῶν ὁ Προφήτης.

Ἰλιγγιῶ τῶν κακῶν μου κατανοῶν τὸ ἀχανές, πέλαγος καὶ θολῶδες, καὶ τρέμω μὴ κῦμα καλύψῃ με ἀπωλείας, κυβερνῆτις γενοῦ μοι Θεοτόκε καὶ σῶσόν με.

Ἁμαρτιῶν ἀμετρήτων ἐπισυρόμενος, πληθὺν ἄμετρον καὶ βαρέα φορτία, κακῶν περικείμενος, Θεοτόκε δυσωπῶ σε, ἐκ τούτων ἐλαφρῦναι καὶ σῶσαί με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Πῶς τῷ φρικώδει σου Θρόνῳ, παραστασθήσομαι Χριστέ; ποίαν ἀπολογίαν ποιήσω, ἐφ' οἷς ἐπλημμέλησα ἑκουσίως; διὰ τῆς Θεοτόκου δωρεάν με ἐλέησον.

Ἀναισθησίας ἐξ ἄκρας, καὶ ἐκ πωρώσεως πολλῆς, σύνοιαν οὐκ ἰσχύω λαβεῖν τῆς ἡμέρας τῆς Κρίσεως, καὶ πενθῆσαι ἐμαυτὸν πρὸ τοῦ τέλους, Θεοτόκε βοήθει μοι.

Ὠδὴ, ε'. Τὸ διὰ τὸν φόβον σου ληφθέν.

Ῥύμῃ τῶν παθῶν κατασυρεὶς Δέσποινα, εἰς βυθὸν ἁμαρτιῶν καὶ εἰς πυθμένα κακῶν, κάτωθεν ἐκτείνω, πρὸς τὸν Οὐρανὸν τὰς χεῖρας κράζων ἐν κλαυθμῷ, καὶ ἐν στεναγμοῖς καὶ θρήνοις καὶ δάκρυσι, ῥῦσαι ἐκ βαθέων ὑδάτων Ἁγνὴ τὸν δοῦλόν σου.

Θανάτῳ τὸν θάνατον ἑλὼν Δέσποινα, ὁ Υἱός σου καὶ Θεὸς, ἀθανασίας πηγὴν, ἔδειξέ σε Κόσμῳ, τεθανατωμένον ἐν μοὶ ζώωσον τὸν νοῦν, καὶ τοῦ ψυχικοῦ θανάτου με λύτρωσαι, σὺ γὰρ τὴν τῶν ζώντων αἰτίαν ζωὴν ἐγέννησας.

Ἐπὶ τοῦ φρικώδους σου Χριστὲ Βήματος, χιλιάδων ἀληθῶς, καὶ μυριάδων πολλῶν σοὶ παρισταμένων, μετὰ συστολῆς καὶ φρίκης κρίνοντι τὴν γῆν, τὸν κατῃσχυμμένον μὴ καταισχύνῃς με, ὅπως διὰ τῆς Θεοτόκου σωθεὶς δοξάζω σε.

Ἔμφοβος καὶ ἔντρομος Ἁγνὴ γίνομαι, ὁπηνίκα κατὰ νοῦν τῆς παρουσίας Χριστοῦ, λάβω τὴν ἡμέραν, καθ' ἣν Οὐρανόθεν ἥξει κρῖναι τοὺς βροτοὺς, κατακεκριμμένος ὢν καὶ πρὸ Κρίσεως, ὅθεν εἰς τὴν σὴν καταφεύγω θερμὴν ἀντίληψιν.

Ὠδὴ, ς'. Ὁ Ἰωνᾶς ἐκ κοιλίας ᾄδου.

Ψυχοβλαβῶν ἡδονῶν με ῥῦσαι Παρθένε, ὀρέξεων ἐκ παθῶν λύτρωσαί με, ὀρέγεσθαι ἀπλήστως, τῶν μενόντων ἀγαθῶν ἐνισχύουσα.

Χαροποιὸν χάρισαί μοι πένθος Παρθένε, κατάνυξιν παρακλήσεως θύραν, χαρᾶς μητέρα λύπην, εὐφροσύνης χορηγὸν θλίψιν σύμμετρον.

Ὁ Ἰωνᾶν θαλασσίου σώσας ἐκ κήτους, διάσωσον τὴν ἀθλίαν ψυχήν μου, ἐκ κήτους ψυχοφθόρου, ταῖς πρεσβείαις τῆς ἁγνῶς Κυησάσης σε.

Ὑπομονὴν τοῦ Λαζάρου Δέσποινα δός μοι, τὸν ἔμπυρον στεναγμὸν τοῦ Τελώνου, δάκρυα τῆς πόρνης, τὴν θερμὴν τοῦ Μανασσῆ ἐξαγόρευσιν.

Κάθισμα. Ὁ δι' ἐμὲ ἀνασχόμενος.

Ῥῦσαι πυρὸς αἰωνίζοντος, τοὺς προσκυνοῦντας τὸν τόκον σου, σὲ γὰρ Χριστὸς ἀνέδειξε, προστάτιν ἡμῶν τῶν ὑμνούντων σε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, ζ΄. Οἱ ἐν καμίνῳ πυρός.

Ο῾Ἐν γεέννῃ πυρὸς βεβλημένος πλούσιος ἄφρων, καὶ νῦν δακτύλου δροσίζοντος, ἀπορῶν καὶ σταγόνος ὑδατοῤῥύτου, ψυχὴ σωφρονισάτω σε, ὡς μὴ πάθῃς τὰ ὅμοια.

ΝΕκρῶν καὶ ζώντων τὸν Κριτὴν, ἡ γεννήσασα Θεοτόκε, ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως, ἀκατάκριτόν με δεῖξον καὶ στῆσον, ἐκ δεξιῶν τοῦ κρίνοντος, ἵνα θείας ἀκούσω φωνῆς.

ΤΗ῀ς σῆς ἀμέτρου ἀνοχῆς, καὶ ἀπείρου μακροθυμίας, τοῦ πλούτου τε τῆς χρηστότητος, ὁ ἀσύνετος Λόγε καταφρονήσας, ταῖς ἱκεσίαις κράζω σοι, τῆς Τεκούσης σε σῶσόν με.

ΝΟ΄μοις Μωσαΐοις πρὸς Θεὸν, παῤῥησίαν ἄπειρον ὄντως Θεογεννήτρια, ἔχουσα τοὺς ἐν σοὶ πεποιθότας, σῶζε κινδύνων, καὶ ἐν ἡμέρᾳ Κρίσεως πάσης ῥῦσαι κολάσεως.

Ὠδὴ, η΄. Τὸν μόνον ἄναρχον.

ΝΟὸς τοῖς ὄμμασι θεωρῶν ἐπὶ θρόνου, φοβερωτάτου, ὑψηλοῦ ἐπηρμένου, καθήμενον ὡς Κριτὴν τὸν Υἱόν σου, στενάζω καὶ θρηνῶ, καὶ σὲ ἐπικαλοῦμαι, βοήθειαν Παρθένε.

Ω῾Σ κεῖνον ἅπασα ἐξανθείτω καρδία, ἡ Θεομήτωρ γὰρ, πάρεστι καὶ Παρθένος, τοῖς ψάλλουσιν ἐν Ναῷ αὐτῆς θείῳ, καὶ δίδωσιν ἡμῖν, λύσιν ἀῤῥωστημάτων, καὶ ἄφεσιν πταισμάτων.

ΠΟλλαὶ μοναί εἰσι, καὶ σκηναὶ σωζομένων, ἐν τῇ οἰκίᾳ τοῦ ἀνάρχου Πατρός σου, ὡς ἔφησας ὑπεράγαθε Σῶτερ, διὸ μιᾶς αὐτῶν, δεῖξον με κληρονόμον, εὐχαῖς τῆς Θεοτόκου.

ΝΑὸς ὁλόφωτος, τοῦ Θεοῦ γεγονυῖα, ἀθροιζομένους ἐν ἁγίῳ Ναῷ σου, τοῦ Πνεύματος οἰκητήρια δεῖξον, τοὺς δούλους σου Ἁγνὴ, τοὺς σὲ δοξολογοῦντας εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ, θ΄. Πανύμνητε τῶν Οὐρανῶν ὑψηλοτέρα.

ΡΉτόρων μὲν ἀδολεσχία σιγησάτω, Ἀποστόλων δὲ θείων ἡ σάλπιγξ βοησάτω, σὲ διαπρυσίοις φωναῖς Παρθένε εὐφημοῦσα, καὶ Θεοτόκον ὄντως καταγγέλλουσα.

ΝΥμφῶνος με τοῦ μυστικοῦ καὶ Οὐρανίου, καταξίωσον Κόρη, νυμφῶν Θεοῦ τοῦ ζῶντος, τοῦ Νυμφίου Χριστοῦ θεάσωμαι τὸ κάλλος, ὅπως ἀεὶ ἀπαύστως μεγαλύνω σε.

Ο΄Δύνης με τῆς ἐν τῷ ᾅδῃ ῥῦσαι Σῶτερ, διὰ τὴν σὲ τεκοῦσαν, καὶ σκότους ἐξωτέρου, καὶ πικροῦ ταρτάρου, καὶ πάσης ἄλλης τιμωρίας, ἵνα σὺν τοῖς Ἀσωμάτοις δοξάζω σε.

Νεκρων-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Νεκρώσεως τοὺς δερματίνους με χιτῶνας, οὓς ἐνέδυσε φθόνος, ἀπόδυσον Παρθένε, καὶ ἀθανασίας φαιδρὸν, περίβαλλε χιτῶνα, ἵν' ἀεὶ μετὰ πόθου μεγαλύνω σε.

Στιχηρὰ Προσόμοια. Οὐκέτι κωλυόμεθα.

Χαῖρε χαρὰ τοῦ Κόσμου Θεοκυῆτορ, χαῖρε Δέσποινα ὑπερένδοξε Θεοτόκε, χαῖρε Πανύμνητε.

Ὑπὸ τὴν θείαν σου σκέπην νῦν προστρέχω, μὴ παρίδῃς με Θεοτόκε, τὸν σὸν οἰκέτην, ἀλλὰ βοήθει μοι.

Τριὰς ἁγία Πάτερ Υἱὲ καὶ Πνεῦμα, τοὺς εἰς σὲ πιστεύοντας, τῆς σῆς Βασιλείας ἀξίωσον.

Χαῖρε Πατρὸς ἀνάρχου νύμφη Παρθένε· χαῖρε Πάνσεμνε, συνανάρχου Μήτηρ Υἱοῦ Πανύμνητε.

## ΤΗ͂ ΤΕΤΑ΄ΡΤΗ, ΕΣΠΕ΄ΡΑΣ,

### ΚΑΝΩ΄Ν ΕΙ΄Σ ΤΗ΄Ν

## ΥΠΕΡΑΓΙ΄ΑΝ ΘΕΟΤΟ΄ΚΟΝ.

Ὠδὴ, ά. Ἦχος Βαρύς. Νεύσει σου πρὸς γεώδη.

Τίμιον τοῦ Δεσπότου, Θεοχαρίτωτε σκεῦος, ἐδείχθης τιμήσασα τὴν φύσιν τοῦ Προπάτορος, ὅθεν Ἁγνὴ δυσωπῶ σε, πάσης τῆς παθῶν ἀτιμίας με λύτρωσαι.

Ὕλης ὑπεραρθῆναι, βιωτικῆς καὶ γεώδους, τὸν νοῦν μου τὸν ἄχρηστον καὶ ῥυπαρὸν ἀξίωσον, βίον βιοῦντε Παρθένε, αὔλων Ἀγγέλων ἐνίσχυσον.

Ἔμφυτον κεκτημένος, τὸ ἐλεεῖν καὶ τὸ σώζειν, ἐλέησον Κύριε καὶ σῶσόν με τὸν ἄσωτον, ὅπως ἅπασι κηρύξω, τὸ πρὸς ἐμέ σου ἀνυπέρβλητον ἔλεος.

Πύλην ἐσφραγισμένην, καὶ κεκλεισμένον σε κῆπον, ὄρος τε κατάσκιον, ἀσύλητον Παράδεισον, ξύλον ζωῆς ἀϊδίου, φέρουσαν Χριστὸν, Θεοτόκε γινώσκομεν.

Ὠδὴ, γ΄. Ὁ κατ' ἀρχὰς τοὺς Οὐρανούς.

Ἴδου τοῖς δούλοις σου Ἁγνὴ, τὰς σωτηρίους αἰτήσεις, ἐν τῷ θείῳ τούτῳ σου Ναῷ, ἐν ᾧ τὴν πηγὴν θαυμάτων ἔδειξας, ἀναπηγάζουσαν ἀεὶ ἐπιφοιτήσει σου θείᾳ, καὶ τῆς αἰωνίου ῥῦσαι Κρίσεως.

Ἐλέους

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεώ

Ἔλεως ἄβυσσον Χριστόν, ὑπὲρ αἰτίαν καὶ λόγον, τὸν δοτῆρα πάντων τῶν καλῶν, τεκοῦσα Ἁγνή, τὴν θείαν εἰκόνα σου, τοῦτον δεικνύεις ἀληθῶς, ἐπισκιάσει σου θείᾳ, τῶν παντοδαπῶν παθῶν καθάρσιον.

Ὁλοσχερῶς μετανοεῖν, καὶ ἐκ καρδίας στενάζειν, ὁλοψύχως πάντοτε θρηνεῖν, καὶ ἐνδιαθέτως μεταμέλεσθαι, ἀξίωσόν με ὁ Θεός, ἐφ' οἷς ἀγνοίᾳ καὶ γνώσει, ἥμαρτον λυπήσας σε τὸν εὔσπλαγχνον.

Ἡ Κιβωτὸς ἡ νοητή, ἡ τὸ ἀκήρατον Μάννα τετοκυῖα Κόσμῳ ἀληθῶς, ἐν μέσῳ ἡμῶν Παρθένε πάρεσο, ἔμπλησον Ἄρτου μυστικῶς, ἡμᾶς τοὺς πόθῳ καὶ πίστει, καὶ εἰλικρινῶς σε μακαρίζοντας.

Ὠδὴ, δ'. Ὁ Πατρικούς.

Σωματικοῖς πάθεσιν αἰσχροῖς, καὶ ψυχικοῖς περιπεσὼν πολλοῖς μολυσμοῖς, ὀδυνῶμαι διπλοῖς βέλεσιν, ὅθεν ἱκετεύω σε, ἴασαί με Κόρη ὡς παντοδύναμος.

Ἁμαρτωλῶν πάντων ἡ ἐλπίς, ἀπηλπισμένων ἡ θερμὴ ἀντίληψις, λυπουμένων παραμύθιον, τὴν ὀδυνωμένην μου τοῖς δεινοῖς ψυχὴν παραμύθησαι.

Λοιμαντικῆς καὶ φθοροποιοῦ, βρώσεως πάλαι μετασχών, Ἀδὰμ ἐν Ἐδέμ, πικρῶς πάντες τῆς τρυφῆς πανοικτίρμων ἐξωρίσθημεν, εἰς ἣν ἡμᾶς διὰ τῆς Μητρός σου εἰσήγαγες.

Ταπεινωθεὶς ὕψει πονηρᾶς, κενοδοξίας ἐντελοῦς οἰήσεως, ἐπὶ σὲ τὴν ἀνυψώσασαν, τὴν φύσιν Παναμώμητε, τὴν ταπεινωθεῖσαν κατέφυγον.

Ὠδὴ, ε'. Νὺξ ἀφεγγής.

Διὰ παντὸς ἁμαρτάνων Ἁγνή, καὶ βεβυθισμένην ἐμὴν προσφέρων τὴν συνείδησιν, ἐγὼ ὁ τάλας ἐναπεγνώσθην, σὺ δέ με οἴκτειρον Παναμώμητε.

Βεβαρυμένους τῷ ὕπνῳ τῆς ἁμαρτίας Ἁγνή, ἐπαγρυπνοῦντας ὅμως δέ, ἐν τῷ Πανσέπτῳ οἴκῳ σου, τῇ σῇ ἀγρύπνῳ θείᾳ πρεσβείᾳ, ἡμᾶς οἰκτείρησον Θεόνυμφε.

Ὑπερφερές σου τὸ κλέος, τῶν πρεσβειῶν πανταχοῦ, Παρθενομῆτορ Ἀχραντε, δι' ὧν καὶ νῦν με παντοίας ῥῦσαι, τῆς ἐν τῷ βίῳ περιστάσεως.

Νοσηλευόμενος σφόδρα, καὶ κατ' ἀμφοῖν χαλεπῶς κεκακωμένος Πάναγνε, ψυχῆς τὴν ῥῶσιν ἐκ σοῦ δεξαίμην, ταῖς σαῖς πρεσβείαις, καὶ τοῦ σώματος.

Ὠδὴ, ς'. Ναυτιῶντα σάλῳ.

Θηρὶ θαλαττίῳ, κήτει νοητῶς ἐναλίῳ ὡς ἐξ ἀφροσύνης μου ναυαγήσας καταποθείς, εἰς βυθὸν καταδύομαι, ἀλλ' ἐκ τοῦ βυθοῦ καὶ τοῦ θηρός με ῥῦσαι, Παντοδύναμον Θεὸν ἡ τεκοῦσα.

Μετὰ

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Μετὰ τόκον ὤφθης, ὥσπερ καὶ πρὸ τόκου ὑπῆρχες, Παρθένος ἀνέπαφος Θεομήτωρ, διαβλαβείσης μηδὲν τῆς ἁγνείας σου, εἰ γὰρ καὶ ὁ τόκος ὑπὲρ φύσιν, ἀλλ' ἡ παρθενία κατὰ φύσιν ἔμεινεν.

Ὀκνηρὸς ὢν δοῦλος, τὸ πρὸς ἐργασίαν δοθέν μοι, κατέχωσα τάλαντον καὶ πτοοῦμαι, τὴν φοβεράν σου Σῶτερ μου ἔλευσιν, τί γὰρ προφασίσασθαι οὐκ ἔχω, ὅταν ἀπαιτῇς με τὴν αὐτοῦ ἐμπόρευσιν.

Ῥητορεῦον στόμα, λόγοις ἑρμηνεύειν οὐ σθένει, τὸ θαῦμα τοῦ τόκου σου Θεοτόκε, τὸν γὰρ ταῖς ἄνω Δυνάμεσιν ἄληπτον, μόνη ἀπορρήτως συλλαβοῦσα, τέτοκας ἐκ Πνεύματος Ἁγίου Πάναγνε. Κάθισμα.

Ὡς ἔχουσα τὸ συμπαθές, εἰς τὴν ταπείνωσιν ἡμῶν, καὶ βλέπουσα τοὺς ἐπὶ γῆς, ὡς εὐπειθέστατον Λαόν, σπλαγχνίσθητι εὐλογημένη Θεοτόκε, ἐπίμεινον πρεσβεύουσα, μὴ ἀπολλώμεθα δεινῶς, ἱκέτευε ὡς εὔσπλαγχνος τὸν εὐδιάλλακτον Θεόν, σωθῆναι τὰς ψυχὰς ἡμῶν Παναγία Παρθένε.

Ὠδὴ, ζ΄. Κάμινον παῖδες.

Ὢ μυστηρίου φρικώδους καὶ ξένου· ὢ καινοτάτου ἀκούσματος· ὅτι Θεὸς γυναικὸς Υἱὸς γέγονε· πράγματι οὐ σχήματι, ἵνα θέσει υἱὸν Θεοῦ ποιήσῃ με.

Σὺ τῶν πιπτόντων ἀνόρθωσις μόνη, καὶ τῶν πταιόντων διόρθωσις, σὺ τῶν τυφλῶν χειραγωγία πέφυκας, τῶν πενήτων ἔλεος, εὐεκτούντων χαρά, νοσούντων ἴασις.

Ὄμβροις δακρύων, κατάρδευσον Κόρη, τὴν χερσωθεῖσαν καρδίαν μου, καὶ τῆς ψυχῆς μου τὰς αὔλακας μέθυσον διὰ κατανύξεως, ἀρετῶν τὰ γεννήματα πληθύνουσα.

Τίς ἐξισχύσει τὰ σὰ μεγαλεῖα, θεοπρεπῶς ἐξηγήσασθαι; τὰς δυναστείας τὰς σὰς τίς λαλήσει δέ; ἀκουστὰς ποιήσεται τὰς αἰνέσεις σου; Μῆτερ ἀπειρόγαμε.

Ὠδὴ, η΄. Τὸν μόνον ἄναρχον.

Ἀφθόρως ἄφθορε, τὸν Θεὸν συλλαβοῦσα, τῆς ἀφθαρσίας τὴν πηγήν, ἐφθαρμένον ἀφθάρτισον, ἁμαρτίαις τὸν νοῦν μου, καὶ τὰς φθοροποιοὺς ἐννοίας καὶ βεβήλους ἀπέλασον ἐκ τούτου.

Ναὸν τὸν ἔμψυχον, καὶ πανάγιον Οἶκον, ὃν ᾠκοδόμησε τοῦ Θεοῦ ἡ σοφία, καὶ ᾤκησεν ὑπὲρ νοῦν τε καὶ λόγον, Ἁγνή σε δυσωπῶ, Πνεύματος τοῦ Ἁγίου τὸν νοῦν μου δεῖξον οἶκον.

Ὁ μόνος ἄναρχος, καὶ Πατρὸς ἐξ ἀνάρχου, γεγεννημένος Θεὸς Λόγος ἀχρόνως, γεγέννηται σαρκικῶς ὑπὸ χρόνον, ἐκ σοῦ τῆς καθαρᾶς, μόνη εὐλογημένη καὶ Κεχαριτωμένη.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεώ

ΚΑτακοσμούμενον ἀρεταῖς σε ποικίλαις, καὶ φαιδρυνόμενον Ναὸν τοῦ Ὑψίστου, γινώσκοντες Παναγία Παρθένε, ὑμνοῦμεν εὐσεβῶς, καὶ σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ, θ'. Μήτηρ Θεοῦ καὶ Παρθένος.

ὙΜνολογεῖν ἐν ᾠδαῖς τὸν τόκον σου, καὶ ἑρμηνεύειν τὸν τρόπον, καὶ αὐτοῖς τοῖς Ἀγγέλοις, καὶ ἀνθρώποις ἐστὶν ἀμήχανον, ἄφθορε Μήτηρ, ἀνύμφευτε Νύμφη, Κεχαριτωμένη γυναικῶν Ἀειπάρθενε.

ὍΛην ἐν σοὶ, τὴν ἐλπίδα τίθημι, τῆς ἐμαυτοῦ σωτηρίας, ἀδιστάκτῳ τῇ πίστει, καὶ πόθῳ διαπύρῳ, Πάναγνε σῶσόν με μόνη, ἐλπὶς μου ἡ βεβαία, καὶ ἀρραγεστάτη προσφυγὴ προσφυγόντα σοι.

ἊΡτος νυκτὸς καὶ ἡμέρας γένοιντο, κἀμοὶ τὰ δάκρυα Σῶτερ, ἵνα κλαύσω καὶ πλύνω, τὸν προσεμβεύοντα τῇ καρδίᾳ μου, ἐξ ἀφροσύνης, δυσέκλειπτον ῥύπον, καὶ ὑπὲρ χιόνα λευκανθῶ μεγαλύνων σε.

ὨΣ ἀληθῶς καὶ κυρίως Δέσποινα, Θεὸν γεννήσασα μόνη, ἀληθῶς καὶ κυρίως, καὶ Θεοτόκος ἀνηγόρευσαι, κλῆσιν τῷ θείῳ, κατάλληλον τόκῳ, τὴν Θεωνυμίαν προσηκόντως πλουτήσασα.

Στιχηρὰ Προσόμοια. Σήμερον γρηγορεῖ.

ΔΕόμαι ἐπ' ἐμοὶ τῷ ἀκάρπῳ, μακροθύμησον Δέσποτα, καὶ μή με ἐκκόψῃς, ὡς ἄχρηστον δένδρον, τομῇ τοῦ θανάτου, εἰς πῦρ ἀποπέμπων, ἀλλὰ καρποφόρον με ποιῆσαι παρακλήθητι, εὐχαῖς τῆς Τεκούσης σε, δός μοι Χριστέ μου δάκρυα, ὅπως ἀπονίψω μου ἁμαρτιῶν τὸ πέλαγος.

ὌΝομα εὐλαβείας Παρθένε, ἐμαυτῷ ἔξω θέμενος, παίγνιον πορνείας, ἐντὸς χρηματίζω, καὶ ἀλαζονείας γέλως καθορῶμαι, θηρείοις γὰρ δυσὶν ὡς ἀντιμάχοις, παραδέδομαι ἐξ ἀπροσεξίας μου. διὸ τούτων ῥῦσαί με, σὺ γὰρ ἀγαλλίαμα πέφυκας ψυχῆς μου καὶ πεποίθησις.

ὌΦελος οὐδαμῶς ἐκ τῆς ὕλης, ὦ ψυχή μου γενήσεται, περὶ ἣν σπουδάζεις, εἰς μάτην τοῦ βίου, περὶ ἣν ἐκτήκεις, σαυτὴν ταῖς φροντίσι, πᾶσαν οὖν τὴν μέριμναν, ἐπίρριψον πρὸς Κύριον, τὸν κρῖναί σε μέλλοντα, καὶ δάκρυσι βόησον, Δέσποτα φιλάνθρωπε, σῶσόν με πρεσβείαις τῆς Τεκούσης σε.

ἍΠαντες ἐν νυκτὶ καὶ ἡμέρᾳ, προστασίαν σε ἔχομεν, καὶ προστρέχομέν σοι πίστει ἀδιστάκτῳ, κλίνοντες τὸ γόνυ καὶ δακρυρροοῦντες, σῶσον οὖν Πανάμωμε τοὺς πόθῳ σε δοξάζοντας, καὶ ὁμολογοῦντάς σε Θεοῦ Μητέρα Πάναγνον, ὅπως καταχρέως ἀεί σε δοξάζωμεν.

ΤΗ,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂ ΠΕΜΠΤΗ͂ ΕΣΠΕΡΑΣ,

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ

# ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

Ὠδὴ, α΄. ἦχος Βαρύς. Νεύσει σου πρὸς γεώδη.

Ὅλος ἐπιθυμία, καὶ γλυκασμὸς σωτηρίας, ὁ τόκος σου πέφυκε Θεοκυήτορ Δέσποινα, πᾶσαν πικρίαν διώκων, τὴν ἐκ τῶν παθῶν καὶ πταισμάτων τοῖς δούλοις σου.

Στῆσον τὰς καταιγίδας τῶν ἡδονῶν καὶ παθῶν μου, τῇ αὔρᾳ τῆς θείας σου πρεσβείας Παναμώμητε, ὅπως γαλήνῃ καρδίας, σοῦ δοξολογῶ τὴν ἀνείκαστον δύναμιν.

Ἔλεον οὐ θυσίαν, ὡς Ἐλεήμων ὁ θέλων, καὶ πάντα τὰ ἔργα σου συνέχων τῷ ἐλέει σου, Σῶτερ μόνε ἐλεῆμον, ἐλέησόν με τὸν ἀνελεήμονα.

Κόπτομαι καὶ στενάζω, κατανοῶν μου τὰ ἔργα, τὰ πάσης κολάσεως καὶ τιμωρίας ἄξια, πλὴν θαῤῥῶν τοῖς οἰκτιρμοῖς σου, εἰς πρεσβείαν σοι προσάγω τὴν τεκοῦσάν σε.

Ὠδὴ, γ΄. Ὁ κατ᾽ ἀρχὰς τοὺς Οὐρανούς.

Ὁ κατ᾽ ἀρχὰς τοὺς Οὐρανούς, ἐπ᾽ οὐδενὸς ὡσεὶ δέῤῥιν, διατείνας Λόγος τοῦ Θεοῦ, ἐν γῇ λογικὸν Ἁγνὴ καὶ ἔμψυχον, σὲ Οὐρανὸν θεμελιοῖ, καὶ ὡς ὡραῖος ἀνίσχων Ἥλιος, ἐκ σοῦ φωτίζει τοὺς τιμῶντάς σε.

Ἐν ἀμελείᾳ τῆς ζωῆς, ἐκδαπανήσας τὸν βίον, καὶ εἰς τέλος φθάσας καὶ δυσμάς, ἐν πίστει σεμνὴ πρὸς σὲ κατέφυγον, τὴν νοητὴν Ἀνατολήν, τοῦ ἀνεσπέρου Ἡλίου, ἵνα μὴ σκοτία καταλάβῃ με.

Δικαιοσύνης Ἰησοῦ, Ἥλιε ἄδυτε Λόγε, δικαιώσας χάριτι τῇ σῇ, ἐν δικαιοσύνῃ δὸς ὀφθῆναί μοι τῷ σῷ προσώπῳ, καὶ τὴν σὴν ἐν τῷ ὀφθῆναί με δόξαν, χόρτασον πρεσβείαις τῆς Τεκούσης σε.

Ἡ ἀνωδίνως τὸν Θεόν, καὶ ἀπαθῶς τετοκυῖα, τὰς ὀδύνας τῆς πολυπαθοῦς, καρδίας μου δέομαι ἐπισκέψαι, τῇ θείᾳ σου ἐπισκοπῇ, σὺ γὰρ ἐπίσκεψις Κόσμου Δέσποινα, καὶ σκέπη καὶ ἀντίληψις.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ω᾽δὴ, δ'. Ο῾ Πατρικὸς.

ΟʹΜορφῇ Λόγου τοῦ Πατρὸς, ἀνερμηνεύτως ὑπὸ χρόνον τέτοκας, τὸν φιλάνθρωπον καὶ ἄχρονον, γενόμενον ἄνθρωπον, ἵνα σώσῃ Κόρη τὸν ἄνθρωπον.

ΤΟʹ συμπαθές σου καὶ εὔσπλαγχνον, ἐπὶ τοὺς δούλους σου Ἁγνὴ ἐφάπλωσον, τοὺς ἀεὶ παρακαλοῦντάς σε, τῆς φρικτῆς κολάσεως λυτρουμένη ταῖς ἱκεσίαις σου.

ΕʹΝ πειρασμοῖς σὲ καταφυγὴν, ἐν τοῖς κινδύνοις ταχεινὴν βοήθειαν, ἐν παντοίαις περιστάσεσιν, ἑτοίμην ἀντίληψιν καὶ ὀξεῖαν Δέσποινα κέκτημαι.

ΕʹΙλικρινεῖ πίστει καὶ θερμῇ, πρὸς σὲ προσφεύγω καὶ βοῶ Παναμώμητε, σὺ γενοῦ μοι ἱλαστήριον, τῶν πολλῶν πταισμάτων μου, λυτρουμένη καὶ διασώζουσα.

Ω᾽δὴ, ἑ. Κύριε ὁ Θεός μου.

ΜΗʹτηρ τοῦ φιλανθρώπου, καὶ Θεοῦ Πανύμνητε Θεοτόκε, τοὺς πίστει καὶ πόθῳ σε ἐν ὕμνοις γεραίρουσιν, ἱλασμὸν ταῖς σαῖς ἱκεσίαις, τῶν παραπτωμάτων κατάπεμψον.

ΔΕʹσποινα Θεομήτωρ, τῶν ἐμῶν πταισμάτων λύσιν παράσχου, καὶ τὴν νεκρωθεῖσάν μου δεινῶς ψυχὴν ἀνάστησον, ἡ ζωὴν τεκοῦσα τοῦ Κόσμου τὴν ἀθάνατον καὶ ἐνυπόστατον.

ΜΟʹνος σε παροργίσας ὑπὲρ πάντα ἄνθρωπον Ἐλεῆμον, τὴν σὴν ἀγαθότητα πρὸς ὀργὴν ἐκίνησα. ἀλλὰ τῆς ἀφθόρου Μητρός σου, σῶσόν με ἁγίαις δεήσεσιν.

ΕʹΝτρομος καθορῶμαι, ὅταν ἐπὶ Θρόνου σε θεωρήσω, φρικτῶς καθεζόμενον τῆς δόξης τὸν Κύριον, ἀναθεωροῦντα τὰς πράξεις, καὶ ἀποδιδοῦντα τὰ ἄξια.

Ω᾽δὴ, ς'. Ναυτιῶντα σάλῳ.

ΤΟῦ τελώνου Λόγε, τὴν συντετριμμένην καρδίαν, τῆς πόρνης τὰ δάκρυα, Μανασσῆ δὲ τὴν ἐξαγόρευσιν καὶ τὴν μετάνοιαν, τὴν ἐπιστροφὴν τὴν θερμοτάτην, τῶν Νινευϊτῶν, ὡς ἀγαθὸς παράσχου μοι.

ΙʹΛασμὸν τεκοῦσα, καὶ ἁμαρτωλῶν εὐεργέτην, Παρθένε Πανάχραντε δυσωπῶ, τὰς ἐνοχὰς τῶν ἀμέτρων πταισμάτων μου, λῦσον τῇ Μητρώᾳ σου πρεσβείᾳ, ἔχεις γὰρ ὡς Μήτηρ πρὸς Υἱὸν τὸ δύνασθαι.

ΑʹΠωσμένους πάλαι, τῇ δικαιοτάτῃ σου Κρίσει, Χριστὲ σοῦ προσώπου ἀνεκαλέσω, θεοπρεπεῖ παρουσίᾳ ὡς εὔσπλαγχνος, καὶ νῦν ἀγαθὲ ἡμαρτηκότας, πρόσδεξαι ἡμᾶς, καὶ τῶν κακῶν ἀπάλλαξον.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὡς καλήν σε μόνην, ἐν ταῖς γυναιξὶ καὶ ὡραίαν, ὡς ὅλην ἀμόλυντον καὶ ἁγίαν, ὡς ἱεράν, ὡς τιμίαν καὶ ἄσπιλον, ὡς καθαρωτέραν εὑρηκώς σε πάσης Κτίσεως, ὁ Κτίστης σοὶ ἐσκήνωσε.

Κάθισμα. Ὁ δι' ἐμὲ ἀνασχόμενος.

Ὑπὸ τὴν σκέπην σου ἅπαντες, οἱ γηγενεῖς καταφεύγομεν, ῥῦσαι τοῦ αἰωνίου πυρὸς ἀγαθὴ τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ, ζ'. Κάμινον παῖδες.

Ἐν ἀπορίᾳ καὶ θλίψει ὑπάρχων, καὶ ἐν κινδύνοις Πανάχραντε, σὲ προσκαλοῦμαι θερμῶς ἐκ καρδίας μου, πρόφθασον καὶ ῥῦσαί με, καὶ παράσχου Παρθένε θυμηδίαν μοι.

Νενεκρωμένην ψυχὴν κεκτημένος, ταῖς χαλεπαῖς παραβάσεσι, σὲ τὴν νεκρώσασαν ᾅδην τῷ τόκῳ σου ἱκετεύω Δέσποινα, μετανοίας τρόποις με ζώωσον.

Τὴν σὴν Μητέρα προσφέρω σοι Σῶτερ, εἰς ἱκεσίαν Φιλάνθρωπε, ἣν προσδεξάμενος ῥῦσαι πταισμάτων με, καὶ μελλούσης Κρίσεως, καὶ αἰωνιζούσης κολάσεως.

Ὕψος καὶ βάθος, καὶ μῆκος καὶ πλάτος, τῆς ὁρατῆς ὅλης Κτίσεως, τὸ μεγαλεῖον τοῦ Τόκου σου Δέσποινα, ὑπερβαίνει ταύτης γάρ, ὑπὲρ λόγον τὸν Κτίστην ἐσωμάτωσας.

Ὠδὴ, ε'. Τὸν ὄντως ὄντα Θεόν.

Δίασωσον ἐκ φθορᾶς καὶ κινδύνων, καὶ παθῶν με πάναγνε, πρὸς σὲ γὰρ καταφεύγω, τὴν ἐμὴν ἐλπίδα καὶ θείαν σωτηρίαν.

Ἐν ὥρᾳ τῆς τελευτῆς τῶν κατηγόρων τῶν δεινῶν ἐξαίρουσα, πρὸς θείαν κατοικίαν, Δέσποινα Παρθένε, αὐτὴ ὁδήγησόν με.

Τὴν μόνην ἐν γυναιξὶν εὐλογημένην, Παρθένον ὑμνήσωμεν, Χριστὸν ὑπερυψοῦντες, καὶ δοξολογοῦντες εἰς πάντας τοὺς αἰῶνας.

Ἀνάνηψον ὦ ψυχή, τῇ Θεοτόκῳ προσπεσοῦσα βόησον, ἐλπὶς καὶ σωτηρία πάντων, τοῦ πυρός με τοῦ αἰωνίου ῥῦσαι.

Ὠδὴ, θ'. Σεσαρκωμένον τὸν Λόγον.

Τὸν ποιητήν μου καὶ Κτίστην ἱκέτευε, τῆς φοβερᾶς ῥύσασθαί με Κρίσεως, Παρθένε καὶ ζωήν μοι χαρίσασθαι.

Ἡ Παναμώμητος Μήτηρ Παρθένε Ἁγνή, τῶν ψυχικῶν λύτρωσαι, σὴν ποίμνην μολυσμάτων, τὴν σὲ μεγαλύνουσαν.

Ἡ Θεοτόκος προσφέρει σοι δέησιν, ὑπὲρ ἐμοῦ Δέσποτα Χριστέ, ἣν δεδεγμένος, ῥῦσαί με πάσης κολάσεως.

Διὰ παντὸς ἱκετεύω σε Δέσποινα, τὴν ταπεινὴν λύτρωσαι ψυχήν μου, τῆς μελλούσης καταδίκης καὶ κολάσεως.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Στιχηρὰ Προσόμοια. Σήμερον γρηγορεῖ.

ΓΈγονα καταγώγιον οἴμοι, τῶν ἡδονῶν ὁ πανάθλιος, γέλως οὖν ὁρῶμαι, ἀεὶ τοῖς ἐχθροῖς μου, ὅθεν σοι προσπίπτω, Ἁγία Παρθένε, ἴδε μου τὴν θλῖψιν, καὶ βοήθειάν μοι ὄρεξον, καὶ δακρύοις κάθαρον, καὶ ῥῦσαι με δέομαι, καὶ καταισχυνθείησαν οἱ χαίροντες ἐν τῇ ἀπωλείᾳ μου.

ΚΛῖνόν μοι τὸ φιλάγαθον οὖς σου, δεομένῳ Παναμωμε, καὶ μὴ ἀπορρίψῃς, τοῦ σοῦ με προσώπου, μηδὲ πόῤῥω πέμψῃς τῆς σῆς βοηθείας, δόλῳ γὰρ ὁ δόλιος σπουδάζει ἀπολέσθαι με, παραλόγοις πάθεσι κινῶν τὴν καρδίαν μου, σὺ δέ με συντήρησον ὅλον τῆς αὐτοῦ βλάβης ἀμέτοχον.

ἎΡον σου ὦ ψυχή μου τὸ ὄμμα, καὶ Θεοῦ ἐνατένισον, τῇ οἰκονομίᾳ, καὶ τῇ εὐσπλαγχνίᾳ, πῶς Οὐρανοὺς κλίνας, ἦλθεν ἐπὶ γῆς, ἵνα ὑψώσῃ σε, ἐκ τῆς ταλαιπωρίας σου τῶν παθῶν, καὶ δώσῃ σοι δόξαν αἰωνίζουσαν, βαβαὶ φρικτοῦ θαύματος, φεῦ τῆς εὐσπλαγχνίας σου φιλάνθρωπε.

ΤΆγματα ὑπερέβης Ἀγγέλων, ὡς Θεὸν σωματώσασα, ἐγὼ δὲ τοὺς πάντας νικήσας ἁμαρτίαις, οἴμοι, δέδοικα καὶ τρέμω. ὅθεν οὐδαμῶς ἀποτολμῶ, παρακαλέσαι σε Θεοτόκε Δέσποινα, σὺ οὖν μὴ παρίδῃς, ἀλλὰ σπεῦσον σῶσόν με, ὁδὸν εἰς εὐθείαν ὁδηγοῦσα με.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂ ΚΥΡΙΑΚΗ͂,

## ἙΣΠΈΡΑΣ, ΚΑΝΩ͂Ν ΕἸΣ ΤΗ͂Ν ΠΟΛΥΫ́ΜΝΗΤΟΝ ΘΕΟΤΌΚΟΝ.

### Ἦχος, πλ. Δ΄.

Ὠ᾿δὴ, ά. Ἁρματηλάτην Φαραώ.

ΧΑΙ͂ΡΕ κατάρας παλαιᾶς ἡ λύτρωσις, καὶ εὐλογίας πηγή· χαῖρε ζωῆς Μήτηρ, ᾅδου ἡ καθαίρεσις, θανάτου ἡ ἀναίρεσις. χαῖρε λύσις τῆς λύπης, χαρᾶς χωρίον εὐρύχωρον. χαῖρε Θεοτόκε Πανύμνητε.

Ἅρμα τοῦ Λόγου λογικὸν καὶ ἔμψυχον, Χαῖρε Πανάμωμε. Δαβιτικὸν χαῖρε, ἅρμα πολυώνυμον, ἅρμα μυριοπλάσιον. χαῖρε ἡ ἀσυγκρίτως, τῶν Χερουβὶμ ὑπερέχουσα, καὶ τῶν Σεραφὶμ ὑπερφέρουσα.

Ἱερωτέρα νοερῶν Δυνάμεων, χαῖρε Θεόνυμφε. χαῖρε κτίσεως πάσης, ἀνωτέρα φύσεως. χαῖρε Θεοῦ παλάτιον, χαῖρε πύρινε Θρόνε. χαῖρε λυχνία πολύφωτε, χαῖρε μυριώνυμε Δέσποινα.

Ῥάβδος ἐκ ῥίζης Ἰεσσαὶ βλαστήσασα, χαῖρε ἀμόλυντε, χαῖρε βλαστῷ ῥάβδου, τῆς Ἀαρωνίτιδος, διαχαραχθεῖσα πρότερον, μυστικῶς καὶ βαθέως, ὡς γὰρ ἐκείνη τὰ κάρυα, οὕτω τὸν Χριστὸν σὺ ἐξεβλάστησας.

Ὠ᾿δὴ, γ΄. Οὐρανίας ἀψῖδος.

Ἰσχυρότατον ὅπλον, χαῖρε πιστῶν Δέσποινα. χαῖρε κραταιὰ προστασία. χαῖρε ἀντίληψις. χαῖρε βοήθεια, ἁμαρτωλῶν· χαῖρε Τεῖχος, τῶν προσπαλαιόντων σε, χαῖρε τοῦ Κόσμου χαρά.

Σωτηρίας ἀνθρώπων, χαῖρε στεῤῥὸν ἔρεισμα. χαῖρε τοῦ Ἀδὰμ καὶ τῆς Εὔας ἡ ἐπανάκλησις, δι᾿ ἧς ἀπέλαβον, τὴν παλαιὰν εὔκλειαν. χαῖρε ἡ ἀνοίξασα πάλιν Παράδεισον.

Χαῖρε ἄφλεκτε βάτε, χαῖρε φωτὸς ὄχημα, χαῖρε τοῦ Ἡλίου νεφέλη, χαῖρε παράδοξε, καὶ ἀνεκλάλητε, τοῦ Βασιλέως καθέδρα, χαῖρε πόλις ἔμψυχε Χριστοῦ τοῦ ζῶντος Θεοῦ.

Ἀπει-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἀπειρόγαμε Μῆτερ, χαῖρε Ἁγνὴ Δέσποινα, χαῖρε ἡ ἀνήροτος χώρα καὶ ἀγεώργητος, ἡ γεωργήσασα τὸν γεωργὸν τῶν ἁπάντων, χαῖρε γῆ ἀλήθειαν ἡ ἀνατείλασα.

Ὠδὴ, δ΄. Σύ μου ἰσχὺς Κύριε.

Ἀνατολὴ, τοῦ Πατρικοῦ ἀπαυγάσματος, καὶ Ἡλίου τοῦ ἐξανατείλαντος, πρὸ Ἑωσφόρου ἐκ τοῦ Πατρὸς, χαῖρε Θεοτόκε, νεφέλη κούφη καὶ ἔμψυχε, Παρθένε χαῖρε Μῆτερ, χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη Πανάμωμε.

Σὺ τὸ χρυσοῦν, θυμιατήριον Δέσποινα, τοῦ ἀρρήτου, καὶ ἀΰλου ἄνθρακος, ἐν ᾧ ἐκαύθη διαρρήδην, τῆς Ἀδαμιαίας παρακοῆς τὸ χειρόγραφον, διό σοι χαῖρε κράζω, δι' ἧς πᾶσιν ἐδόθη, ἡ χαρὰ καὶ τρυφὴ καὶ ἀπόλαυσις.

Σὺ τῶν βροτῶν, δόξα καὶ κλέος καὶ καύχημα, καὶ Ἀγγέλων, σέβος καὶ διάδημα, διὸ ἡ γῆ καὶ ὁ Οὐρανὸς, μίαν Ἐκκλησίαν, συστάμενοι παναρμόνιον, τὸ χαῖρε σοὶ βοῶμεν, χαῖρε Δέσποινα Κόσμου, χαῖρε πάντων ἀνθρώπων βοήθεια.

Κλίνη σεπτὴ, ἣν Σολομὼν προδιέγραψε, κυκλουμένην, δυνατοῖς ἑξήκοντα, χαῖρε Παρθένε ἡ κιβωτὸς, ἡ κεχρυσωμένη, τοῦ νοητοῦ ἁγιάσματος, λαβὶς ἡ θεία χαῖρε· χαῖρε βάτε πυρφόρε, χαῖρε πύλη καὶ κλίμαξ καὶ γέφυρα.

Ὠδὴ, ε΄. Ἵνα τί με ἀπώσω.

Νοερὰν στρατιὰν, καὶ τυραννικὴν ἐναέριον φάλαγγα, παρελθεῖν ἀλύπως, ἐν καιρῷ τῆς ἐξόδου μου πάρεχε, ἵνα σοι τὸ χαῖρε, χαρμονικῶς Δέσποινα κράζω, χαῖρε πάντων ἐλπὶς ἀκαταίσχυντε.

Ὡς χαρὰν συλλαβοῦσα, χαῖρε ὑπεράμωμε, χαῖρε ὑπέραγνε, χαῖρε τῆς ἁγνείας, πορφυρόχροον ἄνθος ἡδύπνοον, χαῖρε Παρθενίας, κοκκοβαφὲς ἐρυθρὸν ῥόδον, καὶ Θεοῦ τὸ εὐῶδες ὀσφράδιον.

Μυστικὴ μυροθήκη, χαῖρε τὸ ἡδύπνοον μύρον ἡ βρύουσα, χαῖρε θεία κρήνη, ἡ τὸ ὕδωρ τὸ ζῶν ἀναβλύζουσα, χαῖρε ἡ τὸν βότρυν, τὸν τῆς ζωῆς καρποφοροῦσα, ἀγεώργητος ἄμπελος Δέσποινα.

Ἀδιόδευτε πύλη, χαῖρε ἣν διώδευσε Χριστὸς ὁ Κύριος, Παραδείσου πύλας, ἡ ἀνοίξασα χαῖρε τῷ τόκῳ σου, χαῖρε δι' ἧς χαίρει, ὁ Οὐρανὸς καὶ γῆ χορεύει, ἡ τὰ ἄνω τοῖς κάτω συνάψασα.

Ὠδὴ, ς΄. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

Ἡ Ἔμψυχος χαῖρε Δέσποινα κόχλος, ἡ κογχύλη σοῦ ἀχράντων αἱμάτων, πορφυραυγῆ, ἐρυθρὰν ἁλουργίδα, τῷ τοῦ παντὸς Βασιλεῖ πορφυρώσασα, τὴν γύμνωσιν τὴν τοῦ Ἀδὰμ, ἡ σκεπάσασα χαῖρε Πανύμνητε.

Στι-

Δημόσια Βιβλιοθήκη Μηλεών

ΣΤηρίζει μὲν τὰς καρδίας ἀνθρώπων, φυσικῶς ὁ αἰσθητὸς ἄρτος Κόρη, χριστιανῶν, τὰς ψυχὰς δὲ κρατύνει, τὸ σὸν ᾀδόμενον ἅγιον ὄνομα. ἐντεῦθεν καὶ χαρμονικῶς, πᾶσα γλῶσσα τὸ Χαῖρε κραυγάζει σοι.

ΛΥχνία ἡ χρυσαυγίζουσα χαῖρε, κιβωτὸς ἡ θεοχώρητος χαῖρε, χαῖρε σκηνὴ, χαῖρε ἅγιον ὄρος, χαῖρε τοῦ ζῶντος Θεοῦ πόλις ἔμψυχε. παλάτιον χαῖρε Χριστοῦ, χαῖρε Τέμενος θεῖον πολύφωτον.

ΥʽΠέραγνε ὑπεράμωμε χαῖρε, τὸ τῆς φύσεως ἐξαίρετον ἄνθος, χαῖρε κοινὴ, τῶν ἀνθρώπων τοῦ γένους, φιλοτιμία καὶ χάρις Θεόσδοτος, τὴν ἄτιμον φύσιν τῶν βροτῶν, ἡ τιμήσασα Χαῖρε τῷ τόκῳ σου.

Κάθισμα. Τὴν σοφίαν καὶ Λόγον.

ΧΑῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ, χαῖρε Κόρη καθέδρα Βασιλικὴ, κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμὺς ἀλουργόχροε, τιμαλφέστατον Τέμενος, ἀστραπηφόρον ἅρμα, λυχνία πολύφωτε. χαῖρε Θεοτόκε, δωδεκάτειχε πόλις, καὶ πύλη χρυσήλατε, καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα, χαῖρε ἔνδοξε Νύμφη ἡλιοστάλακτε, χαῖρε μόνη ψυχῆς μου εὐπρέπεια.

Ὠδὴ. ζ'. Θεοῦ συγκατάβασιν.

ΗʽΜόνη ἀπείρανδρος, ἡ μόνη ἄφθορος χαῖρε Δέσποινα, ἡ Παρθένος καὶ Μήτηρ, ἡ παιδοτόκος καὶ ἀπειρόγαμος. τὸ ξένον χαῖρε καὶ φρικτὸν μυστήριον, χαῖρε Ἀγγέλων τρυφὴ, χαῖρε ἀνθρώπων χαρά.

ΣΙὼν πόλις ἔμψυχε, τοῦ Βασιλέως τῶν Βασιλέων Χριστοῦ, περὶ ἧς ἐλαλήθη δεδοξασμένα χαῖρε Θεόνυμφε, χαῖρε ἡ κλίμαξ δι᾽ ἧς μεταβαινόμεθα, πρὸς Οὐρανὸν ἀπὸ γῆς, καὶ ἐκ φθορᾶς εἰς ζωήν.

ΛΕιμὼν θεοφύτευτος, εὐώδης κῆπος θεοβλαστούργητος, ἀνεδείχθης Παρθένε, ἀθανασίας ἄνθος ἀνθήσασα, διὸ συμφώνως τὸ χαῖρέ σοι κράζομεν, χαῖρε χαρᾶς χορηγὲ, χαῖρε πηγὴ γλυκασμοῦ.

ΥʽΠέρτιμε Δέσποινα, ἐξ ἀτιμίας παθῶν με λύτρωσαι, ἵνα σοι χαρμοσύνως τὸ Χαῖρε κράζω, χαῖρε ἁγνείας πηγὴ, χαῖρε ταμεῖον πάσης καθαρότητος, χαῖρε δοχεῖον Θεοῦ, χαῖρε χωρίον Χριστοῦ.

Ὠδὴ, η'. Εὐλογεῖτε παῖδες.

ΙʼΕσσαὶ ἐκ ῥίζης, χαῖρε ῥάβδος βλαστήσασα, χαῖρε ἀποτίστως ἀνθηφοροῦσα, ἄνθος τὸν Χριστὸν ὡραῖον, χαῖρε πῖον ὄρος, χαῖρε κατάσκιον, χαῖρε Θεοῦ ὄρος, ἐν ᾧ κατοικεῖν ὁ Λόγος, πάντων εὐδόκησε πρὸ τῶν αἰώνων.

ΣΙδηρᾷ σου ῥάβδῳ, κραταιᾶς ἀντιλήψεως, ὡς ὑλακτοῦντας κύνας, ὡς ὠρυομένους θῆρας, τὰ περικυκλοῦντα τὴν ταπεινήν μου ψυχὴν, ἀποσόβει πάθη, δεινῶς με πολιορκοῦντα, ἵνα τὸ Χαῖρέ σοι Παρθένε κράζω.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὡραιώθης ὅλη, τὸν ὡραῖον ἐν κάλλεσιν, ὑπὲρ υἱοὺς ἀνθρώπων Χριστὸν τεκοῦσα, ἡ ἐν γυναιξὶν ὡραία, διό σοι τὸ Χαῖρε κράζομεν χαίροντες, χαῖρε Θεοτόκε Ἁγνὴ Κεχαριτωμένη. χαῖρε τῆς Κτίσεως ἐνδοξοτέρα.

Δανιὴλ ὃ εἶδεν, ὄρος πρὶν ἀλατόμητον, Θεογεννῆτορ χαῖρε ἐξ οὗ ἐτμήθη, ἀκρογωνιαῖος λίθος, χαῖρε θεοδόχε, ἀνθρακοφόρε λαβίς. χαῖρε τῶν ἀΰλων Ἀγγέλων ἁγιωτέρα, χαῖρε τῆς Κτίσεως τιμιωτέρα.

Ὠδὴ, θ'. Ἔφριξε πᾶσα ἀκοή.

Ἰδοῦσαι πᾶσαι ψυχαὶ, μακαρίζουσι τὴν ἀειμακάριστον, ὡς προεφήτευσας, Θεογεννῆτορ ἐκ θείου Πνεύματος, καὶ ὡς τεκούσῃ τὴν χαρὰν τὸ Χαῖρε βοῶσί σοι, χαῖρε ζωῆς θησαυρὲ, χαῖρε κρήνη ψυχικὸν μέλι βρύουσα.

Ὀρθώσας Δέσποινα Ἁγνὴ, τοῦ προπάτορος Ἀδὰμ τὸ ὀλίσθημα, καὶ τῆς προμήτορος Εὔας τὴν λύπην εἰς χαρὰν ἔτρεψας, ὡς οὖν αἰτία τῆς χαρᾶς, τὸ Χαῖρε βοῶμέν σοι. χαῖρε χαρὰ τῶν Πιστῶν, χαῖρε τῶν Χριστιανῶν ἀγαλλίαμα.

Ἄξιον χαῖρέ σοι βοᾶν, ἐν σοὶ γὰρ οὐσιωδῶς ἡ ἀΐδιος, χαρὰ ἐσκήνωσε Παρθένε Κόρη Θεογεννήτρια, χαῖρε Παράδεισε τρυφῆς, χαῖρε ἡ χρυσόρρειθρος ἀθανασίας πηγὴ, χαῖρε νέκταρ ἀληθὲς ἡ προχέουσα.

Νύττει με βέλει γλυκερῷ, τὴν καρδίαν ὁ σὸς πόθος Πανύμνητε, καὶ ἐκβιάζει με, χαῖρέ σοι κράζειν διὰ παντὸς καὶ βοᾶν, χαῖρε γαλήνιε λιμὴν, χαῖρε ἡ ποντίσασα, τὸν νοητὸν Φαραὼ, γλυκυτάτη ἀδιάβατος θάλασσα.

Στιχηρὰ Προσόμοια. Ὢ τοῦ παραδόξου θαύματος.

Χαῖρε Παρθένε Θεόνυμφε, χαῖρε πιστῶν ἡ ἐλπὶς, χαῖρε Κόσμου καθάρσιον, χαῖρε πάσης θλίψεως, ἡ τοὺς δούλους σου σώζουσα, ἡ τοῦ θανάτου χαῖρε κατάλυσις, ὁ ζωηφόρος χαῖρε Παράδεισος, χαῖρε ἀντίληψις, τῶν προσκαλουμένων σε, χαῖρε Θεοῦ, θεῖον ἐνδιαίτημα καὶ Ὄρος Ἅγιον.

Χαῖρε Θεοτόκε Πανάγνε, χαῖρε πηγὴ τῆς ζωῆς, χαῖρε κλῖμαξ Οὐράνιε. χαῖρε πάσης Δέσποινα, καὶ Κυρία τῆς Κτίσεως, εὐλογημένη χαῖρε πανάμωμε, δεδοξασμένη χαῖρε ἀμόλυντε, χαῖρε πανύμνητε, χαῖρε θεῖον σκήνωμα, χαῖρε σεμνὴ, χαῖρε Μητροπάρθενε, νύμφη ἀνύμφευτε.

Δέσποτα Κύριε εὔσπλαγχνε, τὸν σὸν οἰκέτην ἐμὲ, τὸν πολλὰ παροργίζοντα, τὴν σὴν ἀγαθότητα, ταῖς ἀθέσμοις μου πράξεσι, μὴ ἀπορρίψῃς τοῦ σοῦ προσώπου Χριστὲ, ταῖς ἱκεσίαις τῆς κυησάσης σε, ἥμαρτον, ἥμαρτον, ὡς οὐδείς σοι ἕτερος ὁμολογῶ, ἀλλ' οἴκτειρον σῶσόν με ὡς πολυέλεος.

Χαῖρε Μητρόθεε Δέσποινα, χαῖρε ἡ μόνη ἐλπὶς, τῶν βροτῶν καὶ ἀντίληψις, χαῖρε καταφύγιον, χαῖρε λυχνία φωτός. ἠγλαϊσμένον χαῖρε παλάτιον, τὸ φωτοφόρον χαῖρε λαμπάδιον, χαῖρε ἀμόλυντον, παρθενίας καύχημα, χαῖρε πηγὴ, βρύουσα ἰάματα τοῖς προσιοῦσί σοι.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂ι ΔΕΥΤΕ΄ΡΑι ΕʹΣΠΕ΄ΡΑΣ,

## ΚΑΝΩ͂Ν ΕἸΣ ΤΗ͂Ν

# ὙΠΕΡΑΓΙ΄ΑΝ ΘΕΟΤΟ΄ΚΟΝ.

Ὠδὴ, α΄. ἦχος, πλ. δ΄. Ὑγρὰν διοδεύσας.

ΑΓία Παρθένε Μήτηρ Θεοῦ, ἄκουσον φωνῆς μου, ἐν τῷ δέεσθαί με πρὸς σὲ, καὶ ἐν τῷ τὰς χεῖράς μου ἐπαίρειν, πρὸς τὴν Εἰκόνα τὴν σὴν πανευλόγητε.

ΓΕνοῦ μοι Παρθένε καταφυγὴ, καὶ πρὸς ἐργασίαν συνεργεία τῶν ἀγαθῶν καὶ βίου παντὸς χειραγωγία, καὶ ὁδηγία πρὸς θείαν κατάστασιν.

ΡΥ͂σαί με γεέννης, ἣν ἐμαυτῷ, δι᾽ ἔργων ἀτόπων, προεξένησα Λυτρωτὰ, καὶ ταῖς ἱκεσίαις τῆς Μητρός σου, τῆς αἰωνίου τρυφῆς με ἀξίωσον.

ΣΥ` τῆς ἀσθενείας μου ἡ ἰσχὺς, τῆς ἀπηλπισμένης διανοίας μου ἡ ἐλπὶς, τῆς ἐσκοτισμένης μου καρδίας, σὺ εἶ τὸ φῶς ἡ ζωὴ ἡ παράκλησις.

Ὠδὴ, γ΄. Οὐρανίας ἁψῖδος.

ΝΟερῶς καθορᾷν σε διὰ παντὸς δίδου μοι, καὶ τῷ γλυκυτάτῳ φωτί σου περιαυγάζεσθαι, εἰς ἀνεκλάλητον τῆς ταπεινῆς μου καρδίας, εὐφροσύνην Δέσποινα καὶ ἀγαλλίασιν.

ΑΝεξάλειπτον πένθος, διηνεκὲς δάκρυον, θεῖον ἐνδιάθετον φόβον, θερμὴν κατάνυξιν, ἁγνὴν ταπείνωσιν, καὶ συντριβὴν τῆς καρδίας, Θεοτόκε Δέσποινα δός μοι καὶ σῶσόν με.

ΕʹΠὶ γῆς ἁμαρτάνων, τὸν Οὐρανὸν δέδοικα· οὗτος γάρ μοι ἔσαι τῆς δίκης τύπων κατήγορος, ἀλλὰ ἐνταῦθα με, κόλασον Σῶτερ οἰκτῖρμον, καὶ τότε συγχώρησον τὰ ἐπταισμένα μοι.

ΝΟερὰν προθυμίαν, πόθον ἀεὶ ζέοντα, ἔρωτα θερμὸν μετανοίας, σπουδὴν ἀκμάζουσαν, δός μοι Πανύμνητε, ὡς ἂν πενθήσας ἐνθάδε, τύχω παρακλήσεως αἰωνιζούσης ἐκεῖ.

Ὠδὴ, δ΄. Σύ μου ἰσχὺς Κύριε.

ΗʹΚαθαρὰ, καὶ χρυσαυγὴς καὶ ὁλόφωτος, τοῦ Ἡλίου τοῦ ἐξανατείλαντος, πρὸ Ἑωσφόρου ἐκ τοῦ Πατρὸς, νεφέλη Παρθένε, τὸ σκότος μου

φωταγώγησον, τὸν πόνον τῆς ψυχῆς μου, τῆς καρδίας τὴν θλίψιν, τῷ γλυκεῖ σου φωτὶ παραμύθησαι.

ΔΙὰ παντὸς μὴ διαλίπῃς με σκέπουσα. σὲ γὰρ ἔχω μόνην καταφύγιον, ἐν πειρασμοῖς ὑπερασπιστὴν, ῥῦσιν ἐν κινδύνοις, ἐν συμφοραῖς παραμύθιον, προστάτιν ἐν ἀνάγκαις, εὐθυμίαν ἐν λύπαις, καὶ χαρὰν ἐν ταῖς θλίψεσι Δέσποινα.

ΤΟ'ν Μανασσῆν εὔσπλαγχνε πρὶν κατελέησας, καὶ τῷ βίῳ τέθεικας παράδειγμα, τῆς ἀσυγκρίτου σου ἀνοχῆς, καὶ μακροθυμίας, καὶ τῆς πολλῆς ἀγαθότητος, ἐμὲ δὲ νῦν εὐσπλάγχνως, εἴπερ σώσεις οἰκτίρμων, ὑπερβαίνεις τὸ πρῶτον παράδειγμα.

ΡΕ'ῖθρον ζωῆς, πηγὴν ἀθάνατον βλύσασα, κενουμένην κένωσιν ἀκένωτον, ἐκκενουμένην δὲ μηδαμῶς, ἀλλ᾽ ἐν τῷ κενοῦσθαι, ὑπερχειλῆ καὶ ἀκένωτον, καὶ πλήρη δεδειγμένην, ἀπειρόγαμε Κόρη, ἀθανάτου ζωῆς με ἀξίωσον.

Ω᾽δὴ, έ. Ἵνα τί με ἀπώσω.

ΥΔατόρρυτα νέφη, δεῖξόν μου τὰ ὄμματα Θεονύμφευτε, θαλερῶν δακρύων, καὶ ὑδάτων θερμῶν ὑετίζοντα, θαμινὰς λιβάδας, τῷ πιεσμῷ καὶ τῇ ἐκθλίψει, ἀνοιγομένης Ἁγνὴ τῆς καρδίας μου.

ΩΣ πολύδακρυν βίον, καὶ ὡς πολυστένακτον ἀνύων δίαυλον, δυσωπῶ σε Κόρη, εἰς παράκλησιν καὶ εἰς ἀνάψυξιν, τῆς πολυπαθοῦς μου, πολυωδύνου τε καρδίας, ἐναργῆ τὴν σὴν μνήμην παράσχου μοι.

ΕΚ καρδίας στενάζω, καὶ οὐκ ἔχω Δέσποτα τὸν ἐλεοῦντά με, καὶ πικρῶς δακρύω, καὶ οὐδεὶς συμπαθεῖ μοι φιλάγαθε, σῶσον δή με μόνος, ὡς ἀγαθὸς καὶ ἐλεήμων, καὶ δυνάμενος πάντα τῷ κράτει σου.

ΝΟ'ον τῆς εὐφροσύνης, καὶ ἀγαλλιάσεως καὶ σωτηρίου με, φωτεινὸν χιτῶνα, καθαρόν τε ἱμάτιον ἔνδυσον, ὅπως τοῦ νυμφῶνος, μὴ ἐκβληθῶ μὴ ἔχων γάμου, Θεοτόκε ἐπάξιον ἔνδυμα.

Ω᾽δὴ, ς'. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

ΟΔύρομαι καὶ στενάζω καὶ κλαίω, καὶ θρηνῶ ὀλοφυρόμενος ὅταν, τοῦ σοῦ Υἱοῦ, τὴν φρικτὴν παρουσίαν, ἐνθυμηθῶ καὶ κατίδω τὰ ἔργα μου, ἢ δέδοικα καὶ δειλιῶ, τὴν ἀλάθητον Κρίσιν Θεόνυμφε.

ΑΜόλυντε ἀπειρόγαμε Κόρη, μολυνθεῖσαν ἡδοναῖς τὴν ψυχήν μου, διὰ λουτροῦ, κατανύξεως θείας, καθαρτικῶν τε δακρύων ἀπόλουσον. καὶ ῥῦσαί με τῆς φοβερᾶς, τοῦ πυρὸς τοῦ ἀσβέστου κολάσεως.

ΟΥ' κέκτημαι παῤῥησίαν εὔσπλαγχνε, ἀτενίσαι καὶ ἰδεῖν ἁμαρτήσας, εἰς Οὐρανοῦ, τὸ ἀμέτρητον ὕψος, οὐδὲ κληθῆναι υἱός σου ὁ ἄσωτος. ἀλλ᾽ οἰκτειρόν με δωρεὰν, ὁ ἀμέτρητον ἔχων τὸ ἔλεος.



Δημόσια Βιβλιοθήκη Μηλεών

ΛΑγόνων σου ἐξ ἁγνῶν ὃν ἔτεκες, Θεὸν Λόγον Θεοτόκε δυσώπει, ἁμαρτιῶν, πρυτανεῦσαι μοι λύσιν, καὶ τῆς αὐτοῦ γλυκυτάτης μεθέξεως, καὶ στάσεως τῆς ἐκλεκτῆς, ἀξιῶσαι ἐν ὥρᾳ τῆς Κρίσεως.

Κάθισμα. Τὴν Σοφίαν καὶ Λόγον.

ΤΟν φλογμὸν τῆς γεέννης καὶ ἐμπρησμόν, τὸν βρυγμὸν τῶν ὀδόντων, καὶ τὸν κλαυθμόν, τὸν ἐλεεινότατον, χωρισμὸν καὶ πικρότατον, τοῦ τῶν Ἁγίων κλήρου καὶ τῆς ὁμηγύρεως, ἐνθυμουμένη φρίξον, ψυχή μου καὶ στέναξον, καὶ τὰ γραμματεῖα, τῶν μυρίων χρεῶν σου, ἐξαλεῖψαι ἐπείχθητι, κατανύξεως δάκρυσι, συνεργὸν ἀκαταίσχυντον, ἔχουσα τὴν Ἁγνὴν Θεομήτορα, δι' αὐτῆς γὰρ ἡ ἄφεσις δίδοται, τοῖς αὐτὴν ὀρθοδόξως Θεοτόκον δοξάζουσιν.

Ὠδὴ, ζ'. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

ΥΜνον χειλέων ἐξ ἀνάγνων, τῇ Παναγνῳ σοι προσφέρω Θεοτόκε· ἐναγῶν λογισμῶν, ῥυσθῆναι δυσωπῶν σε, καὶ μολυσμῶν τοῦ σώματος, ὦ ἀμόλυντε Κυρία.

ΗΝοιξας πύλας Παραδείσου, ἃς ἀπέκλεισεν ἀνθρώποις ἡ προμήτωρ· Θεομῆτορ διό, κἀμοὶ τῆς μετανοίας, ἄνοιξον πύλας, πύλην μοι, ἀνοιγνύσας Παραδείσου.

ΠΑντων Ἐθνῶν τε καὶ δαιμόνων, τὸν ἀκάθαρτον ἐμὲ ὑπερβαλλόντως, ἐλεῆμον Χριστέ, δεξάμενος τῷ πλήθει, τοῦ σοῦ ἐλέους κάθαρον, καὶ γεέννης λύτρωσαί με.

ΔΕῖξον τὴν σὴν φιλανθρωπίαν, ἡ γεννήσασα φιλάνθρωπον Δεσπότην, ἐπ' ἐμοὶ τῷ πτωχῷ, καὶ ὄντως ἀπανθρώπῳ, καὶ φιλανθρώπως οἴκτειρον τὴν ἐμὴν μισανθρωπίαν.

Ὠδὴ, η'. Ἑπταπλασίως κάμινον.

ΑΜαρτωλῶν προσφύγιον, ταπεινῶν ἱλαστήριον, τὴν ὀδυνωμένην μου, καὶ θλιβομένην Κόρη ψυχήν, καὶ διηνεκεῖ πιεζομένην σκοτίᾳ, φωτί σου γλυκυτάτῳ, νοερᾷ περιαυγάσει, ἱλάρυνον καὶ δεῖξον γαληνιῶντα ὅλον.

ΝΕνεκρωμένον ζώωσον, τεθαμμένον ἐξέγειρον, καταβεβλημένον μου τὸν νοῦν ἀνάστησον, νεκροὺς ἡ ζωώσασα, τῷ ζωηφόρῳ τόκῳ σου, ὡς αὐτοζωὴν ἐν ἀληθείᾳ τεκοῦσα, Μαρία Θεοτόκε ὑπερευλογημένη, ὑπερδεδοξασμένη καὶ Κεχαριτωμένη.

ΤΗς ἀμετρήτου Δέσποινα, καὶ πολλῆς εὐσπλαγχνίας σου, οἴδαμεν τὸν πλοῦτον οἱ εἰς σὲ πιστεύοντες· διό σοι προσπίπτομεν, σὺ τῷ ἀσώτῳ πάντες θερμῶς, δέξαι ἁμαρτήσαντας καὶ σοὶ προσφυγόντας· οὐκ ἔστι γὰρ οὐκ ἔστιν, ἁμαρτία οἰκτίρμων, τὴν σὴν φιλανθρωπίαν νικῆσαι δυναμένη.

ΤΟὺς ἐν πελάγει Δέσποινα, χαλεπῶς κινδυνεύοντας, ὅρμοι καὶ λιμένες, σωστικοὶ προσδέχονται, κἀμὲ κινδυνεύοντα, τοῖς νοουμένοις κύμα-

σι, πρόσδεξαι καὶ σῶσον, ὁ λιμὴν τῶν ἐν ζάλῃ, τῶν καταπονουμένων, προσβολαῖς τῶν δαιμόνων, ἀντίληψις καὶ σκέπη, καὶ ξένη προστασία.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

ΟΛόφωτε λυχνία χρυσοφαής, ἡλιόμορφε Κόρη γλυκυτάτη, ὡς φωταυγής, φώτισον ἁγίασον συμπαθῶς, καὶ κατανύξει κάθαρον, πλύνασα τοῦ ῥύπου με τῶν παθῶν, ὡς ἂν κεκαθαρμένος, ὁρῶ σου τὴν Εἰκόνα, καὶ προσκυνῶ καὶ κατασπάζωμαι.

ΝΕφέλη χρυσαυγής τε καὶ φεραυγής, ἡ τῆς δόξης Πατρὸς τὸ ἀπαύγασμα, ἡ τὸ γλυκὺ, φῶς τὸ ἐκ φωτὸς τοῦ ζωαρχικοῦ, τὸν πρὸ Ἡλίου Ἥλιον, ἡ ἐξανατείλασα σαρκικῶς, τὸν ζόφον τῆς ψυχῆς μου, τὸ σκότος τοῦ νοός μου, γλυκεῖ φωτί σου καταλάμπρυνον.

ΘΑυμάσουσιν Ἀγγέλων αἱ στρατιαί, ἐπὶ γῆς τε οἱ ἄνθρωποι Κύριε, εἰ συμπαθῶς, σώσεις τὴν ψυχήν μου ὡς ἀγαθὸς, καὶ ἀπογνόντα πάντοθεν, τῶν σῶν ἀξιώσεις με οἰκτιρμῶν, κἀγὼ μεγαλοφώνως, ἐν ἅπαντι τῷ Κόσμῳ, ἀνακηρύξω τὰ ἐλέη σου.

ΠΑράδοξον εἰργάσω πρᾶγμα σεμνή, τὸν σὸν πλάστην τεκοῦσα καὶ Κύριον, πρᾶξον καὶ νῦν, ἕτερον τεράστιον ἐν ἐμοί, ἁμαρτωλὸν κατάκειτον, οἴκτειρον ἐλέησον εὐμενῶς, καὶ σῶσον φιλανθρώπως, ὡς Μήτηρ φιλανθρώπου, φιλανθρωπίας τὸν ἀνάξιον.

Στιχηρὰ Προσόμοια. Ὢ τοῦ παραδόξου θαύματος.

ΔΕνδρῳ ἀκάρπῳ ὁμοίωμαι, σχῆμα ὡς φύλλα κενὰ, περικείμενος ἅγιον, καὶ πτοοῦμαι Δέσποτα, μὴ ἐκκόψας ἐκπέμψῃς με, εἰς πῦρ τὸ ἄσβεστον καὶ αἰώνιον, ἀλλὰ παράσχου ἐπιστροφῆς μοι καιρὸν, ὅπως ἐνέγκω σοι, ἐναρέτων πράξεων καρπὸν καλὸν, καὶ ἀξιωθήσωμαι τῆς Βασιλείας σου.

ΕΣκοτισμένος τοῖς πάθεσι, καὶ ἁμαρτίαις δεινῶς, εἰς κρημνὸν ἀπογνώσεως, σπεύδω ὁ ταλαίπωρος, ἐμπεσεῖν ἀλλὰ πρόφθασον, εὐλογημένη Θεοχαρίτωτε, λάμψον μοι φέγγος τῆς εὐσπλαγχνίας σου, καὶ ἐποδήγησον, εἰς ὁδοὺς εὐθείας με παρακαλῶ, προσκυνῶ καὶ δέομαι, μὴ παρίδῃς με.

ΟΛον τὸν βίον ἀνήλωσα, καὶ τὴν ζωήν μου αἰσχρῶς, καὶ ἀσώτως φιλάνθρωπε, μὴ προσχὼν τὸ σύνολον, ταῖς ἐκεῖθεν κολάσεσιν, ἀλλὰ θερμῶς με, νῦν ἐπιστρέφοντα, δέξαι Σωτήρ μου ὥσπερ τὸν ἄσωτον, τῶν Ἀποστόλων σου, καὶ πάντων Ἁγίων σου σεπταῖς λιταῖς, καὶ τῆς Κυησάσης σε Χριστὲ καὶ σῶσόν με.

ΧΑῖρε Θεοτόκε Δέσποινα, χαῖρε Θεοῦ καθαρὸν, οἰκητήριον Ἄχραντε, χαῖρε θεῖον ὄχημα, τοῦ Λόγου Θεοχαρίτωτε. τὸ θεότευκτον χαῖρε παλάτιον. χαῖρε θησαύρισμα θεοπάροχον, θάλαμος ἔμψυχος, Θεοῦ θεία τράπεζα καὶ κιβωτὲ, καὶ κατοικητήριον τοῦ θείου Πνεύματος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂ ΤΡΙ´ΤΗ, Ε῾ΣΠΕ´ΡΑΣ,

## ΚΑΝΩ`Ν ΕΙ᾿Σ ΤΗ`Ν

# ΠΑΝΥ῾ΜΝΗΤΟΝ ΘΕΟΤΟ´ΚΟΝ.

Ω᾿δὴ, α. ἦχος, πλ. δ΄. Α῾ρματηλάτίω Φαραώ.

Υ῾Μνολογίαις ἱεραῖς ὑμνήσωμϑμ, τίω πολυύμνητον, τὴν τὸν Θεὸν Λόγον ὑπὲρ λόγον τέξασαν, τὸν μόνον ὑπερύμνητον, ὃν ὑμνεῖ πᾶσα φύσις, ὃν Ουρανῶν τὰ στρατεύματα, θείαις ὑμνῳδίαις γεραίρουσι.

ΤΟ` καθαρὸν τῆς παρθενίας Τέμϑμος, τὸν τῆς ἁγνείας ναὸν, τὸν ἱερὸν δόμον, τὸν ἄσυλον θάλαμον, τὸ φωταυγὲς ἀνάκτορον, τῦ χαρίτων τὸν οἶκον, τοῦ Ἰησοῦ τὸ παλάτιον, τίω εὐλογημϑμίω ὑμνήσωμϑμ.

Ο῾ Τοὺς δικαίους ἀγαπῶν φιλάνθρωπε, καὶ συμπαθῶς ἐλεῶν, ἁμαρτωλοὺς πάντας, ὑπὲρ πάντα ἄνθρωπον, ἁμαρτωλὸν ὑπάρχοντα, καὶ ἐν ἔργῳ καὶ λόγῳ, πολλάκις παραπικραίνοντα, οἴκτειρον ἐλέησον σῶσον με.

Ο῾ Κατοικῶν ἐν Ουρανοῖς Θεὸς ἡμῶν, σὲ λογικὸν Οὐρανὸν, ἐπὶ τῆς γῆς ἄλλον, Κόρη κατεσκεύασε, τῦ Οὐρανῶν ἀνώτερον, καὶ λαθὼν Οὐρανίους, Δυνάμεις ἐν σοὶ κατῴκησεν, ὁ ἐν Οὐρανοῖς μὴ χωρούμϑμος.

Ω᾿δὴ, γ΄. Ο῾ στερεώσας κατ᾿ ἀρχάς.

Ο῾ Πρὸ νεκρώσεως νεκρὸς, ὁ πρὸ ταφῆς τεθαμμϑμος, ὁ πρὸ μνήματος ἐν μνήματι μϑμων, τῆς λιθώδους καὶ σκληρᾶς, ἀναλγησίας Δέσποινα, τὴν τῆς ζωῆς Μητέρα, σὲ ἱκετεύω ζωῶσαι με.

Η῾ Καλλονὴ τοῦ Ἰακὼβ, ἡ ἐκλεκτὴ πρὸ αἰώνων, ἡ καλὴ ἐν γυναιξὶ καὶ ὡραία, ἡ Παρθένος ἐν παντὶ, καὶ Μήτηρ ἀπειρόγαμος, Θεοϛϑμνήτωρ Κόρη, ἡ σωτηρία μου σῶσον με.

Η῾ Α᾿νεξάντλητος πηγὴ, ἡ ἀδαπάνητος κρίνη, ἡ ἀέναος καὶ ἄφθονος βρύσις, τοῦ ἐλέους ὁ κρατὴρ, τῦ οἰκτιρμῶν ἡ ἄβυσσος, τὸ τῆς φιλανθρωπίας, πέλαγος Κύριε σῶσον με.

ΤΟ`ν πονηρὸν ἡ ἀγαθὴ, τὸν ἐν πολλῇ ἀσπλαγχνίᾳ, ἡ ἀκένωτος πηγὴ τοῦ ἐλέους, τὸν αἰσχρὸν τὸν ῥυπαρὸν, ἡ καθαρὰ καὶ ἄμωμος, ἐμὲ Παρθένε σῶσον, καὶ πάντων τούτων ἀπάλλαξον.

Ω᾿δὴ,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, γ΄. Σύ μου ἰσχὺς Κύριε.

Ἴσχυσε πρὶν, φθόνος, Θεοῦ ἐξορίσαι με, καὶ στερῆσαι τρυφῆς Παραδείσου τε, καὶ παραδοῦναί με τῇ φθορᾷ. ἀλλὰ σὺ Παρθένε, ἐκτὸς φθορᾶς ὠδινήσασα, Χριστὸν τὸν ποιητήν μου, ἀφθαρτίσασα πάλιν, Παραδείσου πολίτην με ἔδειξας.

Νέκταρ ἡμῖν, τῆς εὐσπλαγχνίας ἐπήγασας, οἷα κρήνη ῥεῖθρον γλυκὺ βλύζουσα, καὶ καθαρὰ νάουσα πηγὴ, νᾶμα ζωηφόρον, καὶ ὕδωρ πότιμον βρύουσα, διό με Θεοτόκε, τὸν φλεγόμενον δίψει, τῶν ἐμπύρων παθῶν καταδρόσισον.

Ἠθετηκὼς, τὰ πατρικά σου ἐντάλματα, καὶ τὸν πλοῦτον, ὅν μοι ἐνεχείρισας, ἐν ἡδοναῖς δεδαπανηκὼς, γέγονα τῶν θείων, χαρίτων πένης ὁ ἄθλιος, διὸ μετανοοῦντα, σὺν ἐξομολογήσει, μὴ βδελύξῃ με εὔσπλαγχνε Κύριε.

Ἐπὶ τῆς γῆς, οὐδεὶς Παρθένε ἀμόλυντε, ἐμολύνθη, ὡς ἐγὼ ὁ βέβηλος, καὶ κατεκαύθη ταῖς ἡδοναῖς, Ἄχραντε διό σοι προσπίπτω δέξαι καὶ σῶσόν με, πρεσβείαις σου πανάγνοις, ὡς Θεοῦ Λόγου Μήτηρ, ὡς τὰ πάντα ῥαδίως λύουσα.

Ὠδὴ, ε΄. Ἵνα τί με ἀπώσω.

Ἀπορία καλύπτει, τὸν ἀπερινόητον τόκον σου Δέσποινα, πῶς καὶ τίκτεις βρέφος, καὶ ἁγνεύεις Παρθένος ὑπάρχουσα, ἀληθῶς καὶ φύσις, ἐν σοὶ καινῶς καινοτομεῖται, καὶ οἱ νόμοι αὐτῆς καταλύονται.

Παῤῥησίαν μεγίστην, πρὸς τὸν ἐκ λαγόνων σου τεχθέντα Κύριον, κεκτημένη Κόρη, ὅσα θέλεις ἀνύεις ἑκάστοτε, καὶ ἰσχύεις πάντα, Παντοδυνάμου Θεοῦ Μῆτερ, διὸ θέλησον μόνον καὶ σώσεις με.

Μὴ βραδύνῃς ψυχή μου, ἐπὶ τὴν μακρὰν ξενιτείαν ἐμμένουσα, ἀλλὰ δράμε τάχος, τῷ Θεῷ καὶ Πατρὶ ἐξαγγέλλουσα, ἵνα λάβῃς λύσιν, ὧνπερ κακῶς ἐπολιτεύσω, ἀσωτίᾳ τὸν βίον ἀνύσασα.

Ὡς ἐν κλύδωνι σκάφος, ἔγωγε βυθίζομαι, παθῶν τοῖς κύμασιν, ἀπαθείας ὅρμε, τοῦ χειμῶνος μοι λῦσον τὸν κίνδυνον, τὴν ἐπίσκεψίν σου, ὡς ἱερὰν ἄγκυραν δοῦσα, κυβερνῆτι Θεοῦ Μῆτερ Ἄχραντε.

Ὠδὴ, ς΄. Τὴν δέησιν ἐκχεῶ.

Εὐρύχωρον τοῦ Δεσπότου σκήνωμα, καὶ παλάτιον εὐῶδες τοῦ Λόγου, καὶ λογικὸν, τοῦ τῷ λόγῳ τὰ πάντα, πεποιηκότος Χριστοῦ ἐνδιαίτημα, Πανύμνητε Μῆτερ Θεοῦ, τὴν ἀθλίαν ψυχήν μου ἐλέησον.

Συνέχει με ἐγκλημάτων θάλασσα, καὶ χειμάζει τρικυμία πταισμάτων, καὶ πρὸς βυθὸν, ἀπωλείας καθέλκει, ἀλληπαλλήλων παθῶν ἡ ἀντίπνοια, τὴν ἄβυσσον τῶν οἰκτιρμῶν, ἡ τεκοῦσα τὸν κλύδωνα κόπασον.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Νεώτερος ὑπάρχων φιλάνθρωπε, ὡς υἱός σου δαπανήσας τὸν πλοῦτον, ἐν ῥυπαραῖς, πράξεσιν ἀσωτείας, ϗ ἀγαθῶν σου λιμώττων ὁ ἄθλιος, προσέρχομαί σοι νῦν οἰκτρῶς, ὡς εὐσπλάγχνῳ αἰτῶν τὴν συγχώρησιν.

Ἐρύπωται ἡ στολή μου πάναγνε, ϗ ἐσβέσθη ἡ λαμπὰς τῆς ψυχῆς μου, ϗ ταῖς σειραῖς, τῶν πολλῶν μου πταισμάτων, χεῖρας ϗ πόδας δεθεὶς ἔξω ἔρριμμαι, ὁ ἔμψυχος Θεοῦ νυμφὼν, εἰς νυμφῶνα με θεῖον εἰσάγαγε.

Κάθισμα. Τὴν Σοφίαν ϗ Λόγον.

Ἀθανάτους λειμῶνας περινοσεῖν, Οὐρανίους θαλάμους περιπολεῖν, Δέσποινα παράσχου μοι, ὁ Θεοῦ θεῖος θάλαμος, ἐπιτυχεῖν τοῦ θείου νυμφῶνος ἀξίωσον, ϗ μετασχεῖν τῆς δόξης Χριστοῦ ϗ πλησθῆναί με, τῆς ἀπορρεούσης, γλυκυτάτης ἀκτῖνος, καὶ θείας ἐλλάμψεως, τῆς αὐτοῦ ὡραιότητος, ὅπως ψάλλω γηθόμενος, σὺν Ἀγγέλοις αἰώνια, δοξάζων Πατέρα, Υἱὸν, καὶ Πνεῦμα ὁμοούσιον, Τριάδα ἀμέριστον, τὴν ἐκ μὴ ὄντος πανσόφως τὸ πᾶν οὐσιώσασαν.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Ὑμνεῖν σε Πανύμνητε, ϗ εὐλογεῖν σε εὐλογημένη Ἁγνὴ, ϗ βροτῶν καὶ Ἀγγέλων, ἐπίσης φύσις ἀδυνατεῖ ὡς εἰκός· δημιουργὸν γὰρ ἀμφοτέρων τέτοκας, ϗ ποιητὴν τοῦ παντὸς Παρθένος μείνασα.

Οὐ κέκτημαι δάκρυα, οὐκ ἔχω πένθος, οὐ δὲ μετάνοιαν, Παναγία Παρθένε, ἡ ἐκ προσώπου ἀφελομένη τῆς γῆς, δάκρυον ἅπαν δίδου μοι κατάνυξιν, ἵνα δακρύσας πικρῶς ἐκπλύνω μου τὴν ψυχήν.

Τὸ δένδρον τὸ ἄκαρπον, ἐγὼ ὑπάρχω κατάρας ἄξιον, κατανύξεως ὅλως, καρπὸν μὴ φέρων, τομῆς ϗ καύσεως, ὑπὸ εὐθύνην ϗ κλῆμα κατάξηρον· ἀλλ' ἐν ἀσβέστῳ πυρὶ μή με ἐκπέμψῃς Χριστέ.

Μεγάλην ἀντίληψιν, ϗ προστασίαν σε ἀκαταίσχυντον, κεκτημένος Παρθένε, πυρὸς ῥυσθείην διαιωνίζοντος, ϗ τῆς μελλούσης ἀνάγκης ϗ θλίψεως, τοῦ τῶν ὀδόντων βρυγμοῦ, ϗ σκότους τοῦ λυπηροῦ.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Χαῖρε πηγὴ βλυσάνουσα, ψυχικὴν ἀγαλλίασιν. χαῖρε χορηγὲ τῆς θεϊκῆς χρηστότητος. χαρᾶς χαῖρε σκήνωμα. χαῖρε χωρίον ἅγιον, ὄχημα σεπτὸν τοῦ ἀνεσπέρου Ἡλίου, Μαρία Θεοτόκε, ὑπερευλογημένη, ὑπερδεδοξασμένη καὶ Κεχαριτωμένη.

Ξένα καὶ πέρα πίστεως, τὰ φρικτὰ διηγήματα, τοῦ ξενοπρεποῦς καὶ παραδόξου τόκου σου, Μαρία Πανύμνητε· τὸν γὰρ τῆς δόξης Κύριον, τὸν τοῖς Χερουβὶμ ϗ Σεραφὶμ ἐφεστῶτα, τὸν ἕνα τῆς Τριάδος, ἀσυγχύτως ἀτρέπτως, ἐγέννησας ἀσπόρως, ἐκ σοῦ σεσαρκωμένον.

Λογο-

Δημόσια Βιβλιοθήκη Μηλεών

Λογοθεσίας λύτρωσαι, φοβερᾶς με φιλάνθρωπε· λόγον γὰρ οὐδ' ὅλως, τῶν κακῶν ὧν εἴργασμαι, πεποίηκα Δέσποτα, τὰ τῶν ἀλόγων ἔργα δέ, πέπραχα ἀλόγως, ἀλογίᾳ συζήσας. ἀλλά με Θεοῦ Λόγε σῆς Μητρὸς ἱκεσίαις, οἰκτείρησον εὐσπλάγχνως τὸν σὸν ἀχρεῖον δοῦλον.

Σοῦ τὴν θερμὴν βοήθειαν, καὶ ὀξεῖαν ἀντίληψιν, τὴν γεγενημένην εἰς ἐμὲ Παναμώμητε, ἐκπλήττομαι Δέσποινα, καὶ γεγηθὼς κραυγάζω σοι. χαῖρε σωτηρία τῆς ψυχῆς μου καὶ σκέπη, χαρὰ τοῦ Κόσμου χαῖρε, καὶ ἐλπίς μου βεβαία, ζωῆς τῆς αἰωνίου ἡ πρόξενός μοι χαῖρε.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ἰάτρευσον τὰ τραύματα τῆς ἐμῆς, ταλαιπώρου καρδίας καὶ ἴασαι, τὰ τῆς ψυχῆς, ἕλκη τὰ δυσίατα καὶ πολλά, καὶ τῆς σαρκός μου Δέσποινα, θείᾳ ἐπισκέψει σου τὰς δεινάς, θεράπευσον ὀδύνας, καὶ λῦσόν μου τὰς νόσους, τὰς ψυχικάς τε καὶ τοῦ σώματος.

Οὐ κέκτημαι μεσίτην πρὸς τὸν Θεόν, ἢ προστάτην, οὐδὲ ἀντιλήπτορα, μετὰ Θεόν, ἕτερον ἐκτός σου ἐπὶ τῆς γῆς, Ὑπεραγία Δέσποινα, ὅθεν σοι προσπίπτω μετὰ θερμῶν, δακρύων μετὰ πόνου, καρδίας δυσωπῶν σε, ἀντιλαβοῦ τῆς ἀσθενείας μου.

Ψυχαὶ μεμακρυμμέναι ἀπὸ Θεοῦ, καὶ τῶν θείων χαρίτων ἐστερημέναι, δεῦτε θερμῶς, καὶ τὴν τοῦ ἀσώτου ἐπιστροφήν, ἀναλαβοῦσαι κράξωμεν· Πάτερ ἀγαθέ, ὁ ἐν Οὐρανοῖς, ἡμάρτομέν σοι πάντες, ἱλάσθητι καὶ σῶσον, τοὺς προσφυγόντας τῷ ἐλέει σου.

Τίς γένωμαι; τί πράξω ὁ ταπεινός; τίνα ἕξω ἐκεῖσε συνήγορον, ἁμαρτιῶν πλήθη περικείμενος χαλεπά; καὶ ῥαθυμίας πέλαγος, καὶ ἀναισθησίας ὑπερβολήν; ἁγία Θεοτόκε, ἐλπὶς ἀπηλπισμένων, μὴ καταισχύνῃς με τὸν δοῦλόν σου.

Στιχηρὰ Προσόμοια. Ὢ τοῦ παραδόξου θαύματος.

Οἴμοι τί πράξω ὁ ἄθλιος; ποίαν ἀρχὴν τῆς ἐμῆς, σωτηρίας ποιήσομαι, ὁ ἀσώτως ἅπαντα, διανύων τὸν βίον μου; οἰκτείρησόν με, καὶ μὴ παρίδῃς με, πεπλανημένον καὶ ἀπολλύμενον, καὶ μετανοίας μοι, τρόπους καθυπόδειξον Μῆτερ Θεοῦ, ὅπως ἐν αἰνέσει σε, δοξάζω πάντοτε.

Ὅλος αἰσχρός, ὅλος ἔμπλεως, πορνείας πάσης Ἁγνή, καὶ μοιχείας γεγένημαι, ἀσελγὴς ἀκάθαρτος, βδελυρὸς καὶ ἀκόλαστος, φθόρος φονικός τε καὶ ἀποτρόπαιος, ἀσυμπαθής τε, σκληρὸς καὶ ἄσπονδος, φεῦ μοι τῆς ὕβρεως, φειδωλὸς φιλάργυρος, ἁμαρτωλῶν, πρῶτος ἀλλὰ Δέσποινα, ἵλαθι σῶσόν με.

Οἴμοι ψυχή μου ταλαίπωρε, πόσα θρηνήσεις ἐκεῖ, τὴν δεινὴν ῥαθυμίαν σου, ὅταν εἰς αἰώνιον Βασιλείαν οἱ δίκαιοι, καλῶνται· σὺ

δὲ

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

δὲ εἰς πῦρ τὸ ἄσβεστον, κατακριθήσῃ διὰ τὰς πράξεις σου; στάξον δάκρυσον, ἀπ' ἐντεῦθεν πρόσδραμε τῷ λυτρωτῇ, Χριστῷ καὶ ἀπόνιψον, τὰς ἁμαρτίας σου.

ΤΊνι θαῤῥήσω τὰ ἕλκη μου; τίνι ψυχῆς τὰς πληγὰς, ἐκκαλύψω καὶ μώλωπας; τίνι τῆς καρδίας μου, τὰ ἀνίατα τραύματα, ποιήσω δῆλα; τίνι Πανάχραντε, ἐξαγορεύσω τὰς ἁμαρτίας μου; εἰ μὴ σοὶ Πάναγνε, τῇ Μητρὶ τοῦ πλάστου μου, ὅπως τῇ σῇ, μεσιτείᾳ σώσῃς με, τὸν ἀπροστάτευτον.

# ΤΗ͂ ΤΕΤΑ'ΡΤΗ, ἙΣΠΕ'ΡΑΣ,

## ΚΑΝΩ'Ν ΕἸΣ ΤΗ'Ν

# ὙΠΕΡΑΓΙ'ΑΝ ΘΕΟΤΟ'ΚΟΝ.

Ὠδὴ, α'. ἦχος, πλ. δ'. Ἁρματηλάτην Φαραώ.

ΔΊδου μοι λόγον τῷ Πατρὶ συνάναρχε, Λόγε καὶ Συνθρονε, λόγοις ἀεὶ μέλπειν, τὴν τὸν ἐνυπόστατον Λόγον σε καὶ ἀΐδιον, διὰ λόγου τεκοῦσαν, Παρθένον Κόρην ἀπείρανδρον, ὑπὲρ νοῦν καὶ λόγον καὶ ἔννοιαν.

ΧΑρᾶς χωρίον τῇ ψυχῇ μου χάρισαι, χαροποιὸν καὶ παθῶν, καθαρτικὸν πένθος· εἰς χαράν μοι στρέψασα, τὸν κοπετὸν καὶ ῥῆξόν μοι, τὸν τραχύτατον σάκκον, τῆς ἁμαρτίας καὶ θεῖάν με, Κόρη εὐφροσύνην περίζωσον.

ὩΣ ἁμαρτήσας ὑπὲρ πᾶσαν βρότειον, φύσιν Χριστὲ Βασιλεῦ, ἐν λογισμοῖς οἴμοι, λόγοις ἐνθυμήσεσι, καὶ πράξεσιν ὁ δείλαιος, σοὶ προσέρχομαι Σῶτερ, καὶ ἐκβοῶ σοι τὸ ἥμαρτον, σῶσόν με λιταῖς τῆς τεκούσης σε.

ΔΕῦρο ψυχήν μου ταπεινὴν καὶ βόησον, τῇ Θεομήτορι, Χριστιανῶν σκέπη, μή ἐγκαταλίπῃς με, ἀντιλαβοῦ καὶ σῶσόν με, καὶ τῆς αἰωνιζούσης, κολάσεως ἐλευθέρωσον, ἡ τῶν ἀνελπίστων ἀντίληψις.

Ὠδὴ, γ'. Οὐρανίας ἀψῖδος.

ὙΠὲρ μέλι γλυκάζον τὸν αἰσθητὸν φάρυγγα, καὶ ὑπὲρ κηρίον ἡδυνον γλῶσσαν καὶ λάρυγγα, καὶ ἀμβροσίας αὐτῆς, ὄντως γλυκύτερον Κόρη, σοῦ τὸ θεῖον ὄνομα ἐν τῇ καρδίᾳ μου.

ἈΜελῶς καὶ ῥαθύμως ἐκδαπανῶν Δέσποινα, τὸν τῆς παροικίας μου χρόνον, φρίττω καὶ δέδοικα, ἀνατυπῶν ἐμαυτῷ, τὸ φοβερὸν καὶ φρικῶδες, καὶ ἀπροσωπόληπτον Βῆμα τοῦ Τόκου σου.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἀκατάπαυστον θρῆνον, καὶ στεναγμὸν ἄληκτον, καὶ συντετριμμένην καρδίαν πρόσδεξαι Κύριε, καὶ ὡς φιλάνθρωπος, τῷ ἀμετρήτῳ ἐλέει, δίδου μοι τὴν ἄφεσιν ὧν ἐπλημμέλησα.

Ὀμβροτόκους νεφέλας, τοὺς ὀφθαλμούς δεῖξόν μου, ἔμψυχε νεφέλη τοῦ ζῶντος ὕδατος Δέσποινα, καὶ καταξίωσον, θερμὰς δακρύων λιβάδας, ὑετίζειν πάντοτε καὶ καταρδεύειν με.

Ὠδὴ, δ'. Σύ μου Χριστὲ Κύριος.

Κλαίειν πικρῶς, καὶ καταρραίνεσθαι δάκρυσι, καὶ στενάζειν, ἐκ βάθους καρδίας μου, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ, λούειν μου τὴν κλίνην, καὶ διαβρέχειν ἀξίωσον, ἡ ὀμβρήσασα Κόσμῳ, τὸ ἀλλόμενον ὕδωρ, τὸ ποτίζον τακέντας τῷ καύσωνι.

Αἱ πονηραὶ, πράξεις ὡς δήμιοι ἵστανται, ἐπιμόνως νῦν κατηγοροῦσαι μου, καὶ καταπλήττουσαι ἀπηνῶς, τὴν νενεκρωμένην, ψυχήν μου τοῖς παραπτώμασι, λοιπὸν ἀπεγνωσμένος, σοὶ προσπίπτω Παρθένε, δωρεὰν οἴκτειρόν με τὸν δείλαιον·

Σύ με Χριστὲ, ἐκ γῆς μορφώσας ἐζώωσας, σύ με λόγῳ θείῳ κατεκόσμησας, σύ μοι ψυχὴν, δέδωκας καὶ νοῦν, μὴ οὖν ὁ ἐχθρός μου, κερδήσῃ τὸ σὸν πλαστούργημα, μὴ ᾅδης μὴ τὸ σκότος, μὴ τὸ πῦρ τῆς γεέννης, ἀλλ' ὡς φύσει φιλάνθρωπος σῶσόν με.

Πλὴν σοῦ Ἁγνὴ, ἄλλην οὐκ ἔχω βοήθειαν, καὶ ἐκτός σου, σκέπην οὐκ ἐπίσταμαι, σύ μου ἐλπὶς, σὺ καταφυγὴ, σύ μου εὐεργέτις, σύ μου ἑτοίμη ἀντίληψις, καὶ σὲ ἐπικαλοῦμαι, ἀπὸ πάσης ἀνάγκης, ἐξελοῦ με καὶ σῶσον τὸν δοῦλόν σου.

Ὠδὴ, ε'. Ἵνα τί με ἀπώσω.

Ἐμαυτὸν κατακρίνω, καὶ πρὸ τῆς ἐτάσεως Θεοχαρίτωτε, τῆς αἰσχύνης ἔργα, διαφέρων ὁ μόνος κατάκριτος. ἀλλὰ πρόστηθί μοι, ὡς προστασία οὖσα πάντων, καὶ δεινῆς κατακρίσεως ῥῦσαί με.

Ἐπὶ σοὶ τὰς ἐλπίδας, πάσας ἀνατίθημι τῆς σωτηρίας μου, Θεομήτωρ Κόρη, μὴ παρίδῃς δεινῶς με ποντούμενον, συμφορῶν πελάγει, ἀλλὰ τὴν σὴν δίδου μοι χεῖρα, ὡς ὁ Χριστὸς τῷ Πέτρῳ καὶ σῶσόν με.

Καὶ τὸ σκότος καλύπτει, καὶ τὸ πῦρ φλογίζει με Σῶτερ τῶν ἔργων μου, ὁ βρυγμὸς ὀδόντων, καὶ τὸ ψύχος ταρτάρου ταράττει με, τῶν δαιμόνων πλέον, αἱ σκυθρωπαὶ φοβοῦσιν ὄψεις, ὧν με ῥῦσαι λιταῖς τῆς τεκούσης σε:

Τοῦ θανάτου ἡ πύλη, κλείει μοι Πανάμωμε τὴν ἐξαγόρευσιν, οἱ μοχλοὶ τοῦ ᾅδου, ὡς κατάκριτον ἤδη λαμβάνουσιν. ἀλλὰ σύ μοι πύλη, πρὸς τὴν ζωὴν γενοῦ Παρθένε, καὶ τὰ κλεῖθρα τοῦ ᾅδου διάρρηξον.



Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, ϛ'. Ἱλάσθητί μοι Σωτήρ.

ΝΕνεκρωμένον πολλαῖς, Παρθένε με παραβάσεσιν, ἡ τὴν ζωὴν τοῖς βροτοῖς, ἀῤῥήτως κυήσασα, Θεοτόκε ζώωσον, καὶ ποιεῖν Κυρίου, τὰ θελήματα ἐνίσχυσον.

ΣΕ προστασίαν πιστοὶ, καὶ τεῖχος πάντες κεκτήμεθα, οἱ ἐν βυθῷ τῶν κακῶν, καὶ σάλῳ τῶν θλίψεων, ἀεὶ κινδυνεύοντες, Θεοτόκε μόνη, τῶν πιστῶν τὸ καταφύγιον.

Ὁ Μανασσῆς ἐν τῇ γῇ, στήλη τῆς σῆς ἀγαθότητος, ἐγὼ δὲ μεῖζον Χριστὲ, τῆς φιλανθρωπίας σου, ἔσομαι διήγημα, ὅτι θαῦμα μέγα, νεκρωθέντα με ἐζώωσας.

ΑΜήτωρ πρὸ τῆς σαρκὸς, ἀπάτωρ μετὰ τὴν σάρκωσιν, Υἱὸς Πατρὸς καὶ Μητρὸς, ὁ πάντα καλούμενος, ὑπὲρ νοῦν ἀμφότερα, τῷ Θεῷ γὰρ πρέπει, τῶν θαυμάτων τὰ παράδοξα.

Κάθισμα. Τὴν Σοφίαν καὶ Λόγον.

ΤΟῦ πυρὸς τοῦ ἀσβέστου τὸν ποταμὸν, ἐννοοῦσα ψυχή μου τὸν φοβερὸν, φρίξον καὶ συστάληθι, τῆς κακίας ἀπόστηθι, καὶ ἐν κλαυθμῷ καὶ πένθει, πικρῶς ὀλολύζουσα, ἐν συντριβῇ καρδίας, μετὰ ταπεινώσεως, πρόσδραμε πρὸ τέλους, τῇ Μητρὶ τοῦ Κυρίου, καὶ ταύτης δεήθητι, ἐξ αὐτοῦ σε λυτρώσασθαι, Θεοτόκε κραυγάζουσα, πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι, σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Ὠδὴ, ζ'. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

ΟἼκτειρον σῶσόν με Παρθένε, τὸν οἰκτίρμονα τεκοῦσα Θεὸν Λόγον, καὶ φωτὶ τῷ ἐν σοὶ, καταύγασον ψυχήν μου, καὶ τῶν δαιμόνων ῥῦσαί με, τῆς δεινῆς μηχανουργίας.

ῬΥσαί με Μῆτερ τοῦ Σωτῆρος, συνεχόμενον δεινῇ αἰχμαλωσίᾳ, λογισμῶν πονηρῶν, παθῶν τε ψυχοφθόρων, ὅπως ἀεὶ σωζόμενος, καταχρέως σε δοξάζω.

ΠΑῦσον τὸν πόνον τῆς ψυχῆς μου, καὶ τὴν ἄρρητον ὀδύνην καὶ τὸ πένθος, εἰς χαρὰν ἀληθῆ μετάβαλλε οἰκτίρμων, πρεσβείαις τῆς τεκούσης σε, ὡς Σωτὴρ καὶ ἐλεήμων.

ΣΩσόν με σῶσον Θεοτόκε, ἡ τὸν εὔσπλαγχνον Θεὸν ἀποτεκοῦσα, καὶ δεινῶν συμφορῶν, καὶ βλάβης καὶ κινδύνων, τῇ κραταιᾷ δυνάμει σου, ἐξελοῦ Θεοκυῆτορ.

Ὠδὴ, η'. Ὁ στεγάζων ἐν ὕδασι.

Ὁ Ποιήσας τὴν θάλασσαν, τὸν Οὐρανὸν καὶ τὴν γῆν, ὁ ἀμείβων φύσεις, τρέπων στοιχεῖα, μεταπλάττων τὸ πᾶν, ὁ ζωῆς Κύριος, ὁ θανάτου κρατῶν, ὁ πάντα φέρων, λόγῳ μόνῳ Λόγος, ἐκ Παρθένου Κόρης προῆλθες σαρκοφόρος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΣΥνωθεὶ με πρὸς αἴνεσιν, ἐνδομυχῶν τὸ γλυκὺ, τοῦ ἀχράντου πόθου σου Θεοτόκε, περικάρδιον πῦρ, καὶ τολμᾷν πείθει με, ἐξ ἀκάρπων χειλέων, σοὶ προσάγειν ὕμνους καὶ δεήσεις, καὶ χαιρετισμοὺς, εὐχὰς καὶ ἱκεσίας.

ΜΗ λιπὼν τὸν Γεννήτορα, μὴ χωρισθεὶς τοῦ παντὸς, ἀλλ' ἐν τοῖς ὑψίστοις συνεδριάζων, ὡς Υἱὸς τῷ Πατρὶ θείῳ τε Πνεύματι, ἐχωρήθης ἐν μήτρᾳ τῆς Παρθένου, Λόγε ὑπὲρ λόγον, μείνας Θεὸς ὅλος, καὶ ἐσαρκώθης ὅλως.

ΥΠὸ πάσης τῆς Κτίσεως, καὶ ὑπὸ πάσης πνοῆς, λογικῆς ἀλόγου, φθαρτῆς ἀφθάρτου, αἰσθητῆς νοητῆς, ὢ φρικτοῦ θαύματος, ὢ ἀκούσματος ξένου καὶ ἀῤῥήτου, ὃς ὑμνολογεῖται, ὡς Θεὸς ὁρᾶται, βρέφος Μητρὸς Παρθένου.

Ὠδὴ, θ'. Ἔφριξε πᾶσα ἀκοή.

ΔΕῦρο δὴ τάλαινα ψυχὴ, ἑαυτὴν πρὸ τῆς ἐξόδου σου πένθησον, θρήνησον στέναξον, ἀπὸ βαθέων τῶν τῆς καρδίας σου, καὶ ἐν κλαυθμῷ καὶ ὀδυρμῷ πρόσπεσον καὶ βόησον, τῇ τοῦ Κριτοῦ σου Μητρὶ, ἐν τῇ Κρίσει σύ μου πρόστηθι Δέσποινα.

ὍΛην μου σοὶ μετὰ Θεὸν, σωτηρίας τὴν ἐλπίδα ὁ δοῦλός σου, προσανατέθεικα, καταφυγὴν σὲ πλουτίσας ἄμαχον, καὶ προστασίαν ἐν πολλαῖς βίου περιστάσεσι, Θεογεννήτρια, διὸ ῥῦσαί με παντοίας κολάσεως.

ὈΔόντων τρύχει με βρυγμὸς, καὶ ὁ σκώληξ τὴν ψυχὴν κατεσθίει μου ὁ ἀτελεύτητος, καὶ δαπανᾷ μου τὸ συνειδὸς πρὸ καιροῦ, τοῦ δὲ πυρὸς ὁ ποταμὸς, καὶ πόῤῥωθεν φλέγει με, διὸ φιλάνθρωπε, τούτων ῥῦσαί με λιταῖς τῆς τεκούσης σε.

ΣΦραγίδα σημειωτικὴν, τῷ μετώπῳ τῆς ψυχῆς μου ἐγχάραξον, σῆς ἀντιλήψεως, ἵνα ὁρῶν με ὁ ἀντικείμενος, φρίξῃ ὡς πρόβατον τῆς σῆς, ποίμνης Παναμώμητε, ὅπως δοξάζω σε ὡς αἰτίαν τῆς χαρᾶς τε καὶ σωτηρίας μου.

Στιχηρὰ Προσόμοια. Ὢ τοῦ παραδόξου θαύματος.

ΧΑῖρε Μαρτύρων ἀγλάϊσμα, ἡ τῶν Ἀγγέλων χαρὰ, Ἱερέων τὸ καύχημα, Ἀποστόλων Δέσποινα, τὸ ἀσίγητον κήρυγμα, καταπιπτόντων, χαῖρε ἀνόρθωσις, καὶ πτωχευόντων, πλοῦτος ὁ ἄσυλος, χαῖρε παράκλησις, τῶν πενθούντων Ἄχραντε, χαῖρε καὶ μου, εὐφροσύνη ἄληκτος, καὶ θυμηδία μου.

ὪΤοῦ παραδόξου θαύματος· πῶς τὸν τῶν ὅλων Θεὸν, ἐν γαστρί σου ἐχώρησας· πῶς βρέφος ἐβάστασας, τὸν ποιητὴν τοῦ παντὸς, ὄντως ἐκπλήττει, νοῦν καὶ διάνοιαν, ἡ ὑπὲρ λόγον, κυοφορία σου, ὢ παμμακάριστε, Θεοτόκε Ἄχραντε, διὸ αὐτὸν, πάντοτε ἱκέτευε, ὑπὲρ τῶν δούλων σου.



Δημόσια Βιβλιοθήκη Μηλεών

Ὅταν καθίσῃς ἐν δόξῃ σου, ὡς Βασιλεὺς τοῦ παντὸς, ἐπὶ Θρόνου τῆς Κρίσεως, παρεστώτων φόβῳ σοι, τῶν ἁγίων Ἀγγέλων σου, καὶ παραστῇ σοι ἡ φύσις ἅπασα, κριθησομένη τῆς ἀνθρωπότητος, τότε δεήσεσι, τῆς Μητρός σου Κύριε καὶ τῶν σεπτῶν, Ἀποστόλων ῥῦσαί με, πάσης κολάσεως.

Χαῖρε Παρθένε Παναμώμε, χαῖρε ζωῆς θησαυρὲ, χαῖρε Ὄρος κατάσκιον, χαῖρε στύλε πύρινε, καὶ νεφέλη ὑπέρφωτε, παντὸς ῥυπώδους χαῖρε καθάρσιον, ἡ τῶν πενθούντων χαῖρε παράκλησις, χαῖρε ἀνύμφευτε, χαῖρε Μήτηρ Ἄχραντε, χαῖρε ἡμῶν, πάντων τῶν ὑμνούντων σε, ἡ ἀγαλλίασις.

## ΤΗ͂Ι ΠΕ΄ΜΠΤΗΙ ΕΣΠΕ΄ΡΑΣ,

### ΚΑΝΩ΄Ν ΕΙ΄Σ ΤΗ΄Ν

## ΥΠΕΡΑΓΙ΄ΑΝ ΘΕΟΤΟ΄ΚΟΝ.

Ὠδὴ, α΄. Ἦχος, πλ. δ΄. Ἄσωμεν τῷ Κυρίῳ.

Φώτισον τὴν ψυχήν μου, ἔμψυχε λυχνία χρυσαυγίζουσα, τοῦ φωτὸς τοῦ ἀΰλου, καὶ παθῶν μου τὸν ζόφον ἀπέλασον.

Ὤθησεν ὁ ἐχθρός με, εἰς ἁμαρτιῶν ἐσχάτην χάρυβδιν, εἰς πυθμένα κακίας, καὶ εἰς ᾅδου κατώτατον πέταυρον.

Νύμφη Πατρὸς ἀνάρχου, Μῆτερ τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, καὶ Πνεύματος θείου, τὴν ἀθλίαν ψυχήν μου ἐλέησον.

Ἤμβλυνας τοῦ θανάτου, Κόρη τὴν πικρίαν ἀποστάξασα, νέκταρ ἀθανασίας, καὶ ζωῆς γλυκασμὸν ἀναβλύσασα.

Ὠδὴ, γ΄. Σὺ εἶ τὸ στερέωμα.

Κόρος οὐ προσγίνεται, τοῖς ἀνυμνοῦσί σε Δέσποινα, Σὺ γὰρ ἡμῶν, φῶς καὶ θυμηδία, καὶ ζωὴ καὶ ἀντίληψις.

Ὕμνοις ἀνυμνοῦμέν σε, τὸν ὑπερύμνητον Κύριον, ὃν ἀνυμνοῖ, τάγματα Ἀγγέλων, ὡς τεκοῦσαν Πανύμνητε.

Σκότους ἐξωτέρου με, πυριφλεγοῦς πικροῦ σκώληκος, ῥῦσαι Χριστὲ, λιταῖς τῆς Μητρός σου, πάσης ἄλλης τε θλίψεως.

Ἅδην ἡ νεκρώσασα, τῷ θείῳ τόκῳ σου ῥῦσαί με, τῶν σκοτεινῶν, ᾅδου σκηνωμάτων, καὶ πυρὸς αἰωνίζοντος.

Ὠδὴ, δ΄. Εἰσακήκοα Κύριε.

Ὀδυρμὸν τὸν πικρότατον, καὶ τὸν ἀπαράκλητον καὶ βαρύτατον, στεναγμὸν ψυχὴ ἐννόησον, καὶ πικρῶς ἐντεῦθεν σαυτὴν θρήνησον.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Νεκρωθεὶς πρὸ νεκρώσεως, καὶ πρὸ τῆς ταφῆς ταφεὶς ὁ νεκρόζωος, δυσωδίας εἰμὶ ἔμπλεως, καὶ τῆς ἐν τῷ τάφῳ διαλύσεως.

Τὸ φρικτὸν λογοθέσιον, καὶ τὸ φοβερόν σου Κριτὰ Κριτήριον, καὶ νῦν λαμβλίων δέδοικα, καὶ πικρῶς δακρύω ὡς κατάκριτος.

Ὑπερβαίνει τὸ θαῦμά σου, ἅπασαν διάνοιαν· τὸν γὰρ Κύριον, τὸν ἀόρατον καὶ ἄχρονον, ὁρατὸν ἐν χρόνῳ ἀπεκύησας.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Θρήνησον ψυχὴ ἑαυτὴν πρὸ τῆς ἐξόδου σου, πένθος ἀνάλαβε καὶ κλαῦσον πικρῶς, πρὶν καταλάβῃ κλαυθμός σε ὁ ἀπαράκλητος.

Ὕδατι σεμνὴ, κατανύξεώς με ῥάντισον, καὶ ταῖς λιβάσι τοῦ ἐλέους σου, σταγόνας δίδου τῶν δακρύων ὑετίζειν με.

Ὅταν σου Χριστὲ, τοῦ φρικώδους μνησθῶ Βήματος, τῆς φοβερᾶς τε τοῦ θανάτου τομῆς, φόβῳ καὶ τρόμῳ τὴν καρδίαν πικρῶς βάλλομαι.

Τὸ ὄρος σε Ἁγνὴ, ὁ Προφήτης ἐθεάσατο, ἐν ᾧ Πάτερ ὅς ἐγράφη Λόγος ἡμᾶς, Θεογεννῆτορ, ἀλογίας ὁ ῥυσάμενος.

Ὠδὴ ς΄. Ἄβυσσος ἁμαρτιῶν.

Ἥμερόν μοι τὸν Κριτὴν, καὶ ἵλατον γενέσθαι ἐν Κρίσει, Μῆτερ Θεοῦ δυσώπει, καὶ διαπλάγχνῳ τῷ ὄμματι, ἐπιβλέψαι ἐπ᾽ ἐμὲ, ὅτε καθίσῃ με ἐρευνῆσαι, λόγους καὶ πράξεις καὶ νοήματα.

Ἥμαρτον ὡς ὁ λῃστὴς, ἀλλὰ κλαίω ὡς ἡ πόρνη καὶ κράζω, ὡς Χαναναία νέα, τὴν ψυχὴν ὡς θυγάτριον, δαιμονῶσαν τὴν ἐμὴν, πάθεσιν ἴασαι Θεοτόκε, τὸν ἰατῆρα ψυχῶν τέξασα.

Φρίττω σου Παμβασιλεῦ, τὴν δευτέραν ἐπὶ γῆς παρουσίαν, καὶ τὴν φρικτήν σου Κρίσιν, καὶ ἀδέκαστον δέδοικα, σοῦ τὰ θεῖα καὶ σεπτὰ Λόγε προστάγματα μὴ φυλάξας, καὶ τῶν δεινῶν μὴ ἀφιστάμενος.

Νέφεσιν ἁμαρτιῶν, καὶ ὁμίχλῃ συσχεθεὶς ἐγκλημάτων, καὶ τῶν παθῶν τῷ γνόφῳ, καλυφθεὶς τὴν διάνοιαν, ἐν νυκτὶ τὰ τῆς νυκτὸς, ἔργα ἐτέλεσα καὶ τοῦ σκότους, σὺ δὲ Παρθένε με διάσωσον.

Κάθισμα. Τὴν Σοφίαν καὶ Λόγον.

Τὸ πικρὸν τῶν βασάνων, καὶ ἀλγεινὸν, τὸ δεσμὸν τῶν μαστίγων καὶ αὐστηρὸν, σκότος τὸ ἀφώτιστον, τὸν ἀθέρμαντον τάρταρον, τὸν ἰοβόλον ὄντως καὶ πύρινον σκώληκα, τὸ πολυφάγον στόμα, τὸν ἄπληστον φάρυγγα, καὶ τὰς ἀνωνύμους καὶ ἀγνώστους κολάσεις, ψυχή μου προβλέπουσα, στεναγμοῖς τε καὶ δάκρυσι, τὴν Μητέρα δυσώπησον, τοῦ Κριτοῦ σου κραυγάζουσα, Θεοτόκε παράσχου μοι συγχώρησιν τῶν κακῶν μου, τῷ προστρέχοντι πίστει τῇ σκέπῃ σου.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, ζʹ. Θεοῦ συγκατάβασιν.

Ἔλεους τὴν ἄβυσσον ἡ τετοκυῖα, τὸν ἀσυμπάθητον, καὶ πανάσωτον σῶσον, ὡς συμπαθὴς ἐλεήμων καὶ εὔσπλαγχνος, καὶ λύτρωσαί με γεέννης τὸν δείλαιον, ὅπως ὑμνῶ σε ἀεὶ τὴν Πολυύμνητον.

Ἰσχύεις γεννήσασα, τὸν ἐν ἰσχύϊ δυνατὸν Κύριον, ὅσα βούλει Παρθένε, καὶ ἰαμάτων πελάγη κέκτησαι, διὸ προστρέχω τῇ σκέπῃ σου κράζων σοι, τὴν ταπεινήν μου ψυχὴν νοσοῦσαν ἴασαι.

Στενάζοντα δέξαι με, ὡς τὸν τελώνην καὶ μὴ ἀπώσῃ με, ταῖς λιταῖς τῆς ἀφθόρου Μητρός σου Λόγε ὡς πολυέλεος, ἀλλὰ προθύμως οἰκτείρησον ψάλλοντα, εὐλογητὸς ὁ Θεός.

Ῥάνισι καταρδεῦσον, τῆς εὐσπλαγχνίας τῆς διανοίας μου, γῆν τὴν κεχερσωμένην, καὶ μετανοίας ἀρότρῳ νέωσον, τὴν ἀκανθώδη καὶ ὑλομανήσασαν, ἐνδείᾳ θείας βροχῆς, καὶ ἐπομβρείᾳ παθῶν.

Ὠδὴ, ηʹ. Ὁ στεγάζων ἐν ὕδασι.

Ἡ Παστὰς ἡ Οὐράνιος, ἡ τῶν Δικαίων χαρὰ, ὁ νυμφὼν τῆς δόξης, ἐν τῷ νυμφῶνι τοῦ Υἱοῦ σου κἀμὲ, ἔνδυμα ἄξιον, ἀμφιάσασα γάμου εἰσαγάγοις, μήπως ὡς ἀχρεῖον, χεῖράς μου δεθέντα, καὶ πόδας τὸ πῦρ λάβῃ.

Συντριβὴν τῆς καρδίας μου, καὶ στεναγμοὺς ἐκ ψυχῆς, σταλαγμοὺς δακρύων τῶν ὀφθαλμῶν μου δεξαμένη Σεμνὴ, λύτρωσαι ῥῦσαί με, καλοῖς δάκρυσι, δακρύων αἰωνίων, τῶν ἐν τῇ γεέννῃ, δάκρυον γὰρ ἅπαν, ἦρας ἐκ γῆς προσώπου.

Νοερῶς πρὸ τοῦ Βήματος, τοῦ σοῦ ἑστάναι δοκῶ, Κριτὰ καὶ Θεέ μου, γεγυμνωμένος, ὡς κατάδικος ἔμφοβος ἔντρομος, περιηγκωνισμένος, τετραχηλισμένος, σῶσόν με οὖν κράζω, μόνε ἐλεῆμον, τὸν κατακεκριμένον.

Ὢ Καινότατον ἄκουσμα, καὶ θέαμα φοβερὸν, καὶ φρικτὸν καὶ ξένον ἐν σοὶ Παρθένε τὸ τελούμενον, ὁ Θεὸς τίκτεται, ἐξ ἀφθόρου γαστρός σου, καὶ κρατεῖται ἐν ταῖς σαῖς ἀγκάλαις, ὁ διακρατῶν τὰ πάντα θείᾳ δυνάμει.

Ὠδὴ, θʹ. Κυρίως Θεοτόκον.

Ἰδεῖν Χριστοῦ τὸ κάλλος, ὄντως τὸ ὡραῖον, καὶ τῆς γλυκείας ἀκτῖνος καὶ αἴγλης αὐτοῦ, κατατρυφῆσαί με Δέσποινα καταξίωσον.

Νηχόμενος πελάγει, τῷ τῆς ἁμαρτίας, καὶ τρικυμίαις παθῶν χειμαζόμενος, τῷ γαληνῷ σοι λιμένι προσφεύγω Δέσποινα.

Λιταῖς τῆς σὲ τεκούσης, σῶσον ἐλεῆμον, καὶ εὐσυμπάθητε μόνε τὸν ἐμπαθέστατον, καὶ ἐν κακοῖς τὸν σὸν πλοῦτον καταναλώσαντα.

Ὕμνον σοι τελευταῖον, πρῶτόν τε καὶ μέσον, τοῦ Ἀρχαγγέλου τὸ Χαῖρε προσάγω σεμνή. σοὶ γὰρ κατάλληλον ἄλλον εὑρεῖν οὐ δύναμαι.



Δημόσια Βιβλιοθήκη Μηλεών

Στιχηρὰ Προσόμοια. Ὢ τοῦ παραδόξου θαύματος.

Ἔχοντα βίου προστάτιν σε, σκέπην καὶ τεῖχος Ἁγνή, καὶ λιμένα ἀχείμαστον, προστασίαν ἄμαχον, καὶ ὀξεῖαν ἀντίληψιν, θερμήν τε πρέσβιν, ταχεῖαν πρόμαχον, προφθάνουσάν με καὶ πρὸ τῆς κλήσεως, δεῖξόν με Δέσποινα, πλήρη τῶν ἐλπίδων μου, καὶ τοὺς ἀεί, μάτην πολεμοῦντάς με, πάντας πολέμησον.

Σῶμα ψυχὴν καὶ τὸ πνεῦμά μου, πάσαις δειναῖς ὁ δεινός, ἐργασίαις ἐμόλυνα, τὸ μὲν σῶμα πάθεσι, παραδοὺς τῆς αἰσχρότητος, ψυχὴν δὲ πᾶσιν ἐπιτηδεύμασι, πονηροτάτοις, οἷσπερ συνέζησα, αὖθις τὸ πνεῦμα δέ, ἐπηρμένοις ἤθεσι καὶ σκολιοῖς, Δέσποινα φρονήμασιν, ἐξ ὧν με λύτρωσαι.

Ὢ πῶς διάγω ἀμέριμνος, τὸν τῆς ζωῆς μου καιρόν, μετεώρως παρέρχομαι, μὴ εἰς νοῦν βαλλόμενος, τὰς πολλὰς ἁμαρτίας μου, μὴ τοῦ θανάτου τὸ ἀπαραίτητον, καὶ τῆς ἐτάσεως τὸ ἀδέκαστον· ὢ τίς με ῥύσεται, πυρὸς αἰωνίζοντος; εἰ μὴ Θεέ, μόνε Ὑπεράγαθε, σὺ οἰκτειρήσῃς με.

Σῶσον τὸν Κόσμον σου Δέσποινα, καὶ τῆς δικαίας ὀργῆς, τοῦ Υἱοῦ σου ἐκλύτρωσαι, τοὺς πιστῶς ὑμνοῦντάς σε, καὶ δεινὰ προσδοκώμενα, πάντα ἀπότρεψον ταῖς πρεσβείαις σου, καὶ ἐν ἡμέρᾳ τῆς Δίκης πρόσηθι, παύπων τῶν δούλων σου, σὺν αὐτοῖς με σώζουσα, καὶ Οὐρανῶν, νέμουσα Παντάνασσα τὴν Βασιλείαν μοι.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

# Ὁ ἈΚΑ΄ΘΙΣΤΟΣ Ὕ΄ΜΝΟΣ

## ΤΗ͂Σ ὙΠΕΡΕΥΛΟΓΗΜΕ΄ΝΗΣ ΔΕΣΠΟΙ΄ΝΗΣ ἩΜΩ͂Ν ΘΕΟΤΟ΄ΚΟΥ

ΚΑΙ`

# ἈΕΙΠΑΡΘΕ΄ΝΟΥ ΜΑΡΙ΄ΑΣ.

ΨΑΛΛΟ΄ΜΕΝΟΣ ΤΗ͂Σ ΠΑΡΑΣΚΕΥΗ͂Σ ἙΣΠΕ΄ΡΑΣ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών




Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΗ͂ ΠΑΡΑΣΚΕΥΗ͂

## ΕʼΣΠΕΡΑΣ, ΚΑΝΩ͂Ν ΕἸΣ ΤΗ͂Ν ὙΠΕΡΑΓΙ͂ΑΝ ΘΕΟΤΟ͂ΚΟΝ.

### Ἦχος, Δʹ.

Ὠδὴ, αʹ. Ἀνοίξω τὸ στόμα μου.

ΧΡΙΣΤΟΥ͂ Βίβλον ἔμψυχον, ἐσφραγισμένην σε Πνεύματι, ὁ Μέγας Ἀρχάγγελος, Ἁγνὴ θεώμενος, ἐπεφώνει σοι, χαῖρε χαρᾶς δοχεῖον, δι᾽ ἧς τῆς Προμήτορος, ἀρὰ λυθήσεται.

ΑʼΔὰμ ἐπανόρθωσις, χαῖρε Παρθένε Θεόνυμφε, τοῦ ᾅδου ἡ νέκρωσις, χαῖρε Πανάμωμε, τὸ παλάτιον τοῦ μόνου Βασιλέως, χαῖρε Θρόνε πύρινε τοῦ Παντοκράτορος.

ΡʼΌδον τὸ ἀμάραντον, χαῖρε ἡ μόνη βλαστήσασα, τὸ μῆλον τὸ εὔοσμον, χαῖρε ἡ τέξασα, τὸ ὀσφράδιον τοῦ πάντων Βασιλέως, χαῖρε ἀπειρόγαμε, Κόσμου διάσωσμα.

ΑʼΓνείας θησαύρισμα, χαῖρε δι᾽ ἧς ἐκ τοῦ πτώματος, ἡμῶν ἐξανέστημεν, χαῖρε ἡδύπνοον, κρίνον Δέσποινα, πιστοὺς εὐωδιάζον, θυμίαμα εὔοσμον, μύρον πολύτιμον.

Ὠδὴ, γʹ. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

ΣΤάχυν ἡ βλαστήσασα τὸν θεῖον, ὡς χώρα ἀνήροτος σαφῶς, χαῖρε ἔμψυχε τράπεζα, ἄρτον ζωῆς χωρήσασα· χαῖρε τοῦ ζῶντος ὕδατος, πηγὴ ἀκένωτος Δέσποινα.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Δ Α'μαλις τὸν μόσχον ἡ τεκοῦσα, τὸν ἄμωμον χαῖρε τοῖς πιστοῖς. χαῖρε ἀμνὰς κυήσασα, Θεοῦ ἀμνὸν τὸν αἴροντα, Κόσμου παντὸς τὰ πταίσματα· χαῖρε θερμὸν ἱλαστήριον.

Ο'Ρθρος φαεινὸς χαῖρε ἡ μόνη, τὸν Ἥλιον φέρουσα Χριστὸν, φωτὸς κατοικητήριον· χαῖρε τὸ σκότος λύσασα, καὶ τοὺς ζοφώδεις δαίμονας, ὁλοτελῶς ἐκμειώσασα.

Χ Αἶρε πύλη μόνη ἣν ὁ Λόγος, διώδευσε μόνος ἡ μοχλοὺς, καὶ πύλας ᾅδου Δέσποινα, τῷ τόκῳ σου συντρίψασα, χαῖρε ἡ θεία εἴσοδος, τῶν σωζομένων Πανύμνητε.

Ὠδὴ, δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ε'Ν φωναῖς ᾀσμάτων πίστει, σοὶ βοῶμεν Πανύμνητε· χαῖρε πῖον ὄρος, καὶ τετυρωμένον ἐν Πνεύματι· χαῖρε λυχνία καὶ στάμνε, μάννα φέρουσα, τὸ γλυκαῖνον, τὰ τῶν εὐσεβῶν αἰσθητήρια.

Ι'Λαστήριον τοῦ Κόσμου, χαῖρε Ἄχραντε Δέσποινα· χαῖρε κλίμαξ γῆθεν, πάντας ἀνυψώσασα χάριτι· χαῖρε ἡ γέφυρα ὄντως ἡ μετάγουσα, ἐκ θανάτου πάντας, πρὸς ζωὴν τοὺς ὑμνοῦντάς σε.

Ο'Υρανῶν ὑψηλοτέρα, χαῖρε γῆς τὸ θεμέλιον, ἐν τῇ σῇ νηδύϊ, Ἄχραντε ἀκόπως βαστάσασα· χαῖρε κογχύλη πορφύραν θείαν βάψασα, ἐξ αἱμάτων σου, τῷ Βασιλεῖ τῶν δυνάμεων.

Ν'Ομοθέτην ἡ τεκοῦσα, ἀληθῶς χαῖρε Δέσποινα, τὸν τὰς ἀνομίας, πάντων δωρεὰν ἐξαλείφοντα· ἀκατανόητον βάθος, ὕψος ἄρρητον, Ἀπειρόγαμε, δι᾿ ἧς ἡμεῖς ἐθεώθημεν.

Σ'Ε τὴν πλέξασαν τῷ Κόσμῳ, ἀχειρόπλοκον στέφανον, ἀνυμνολογοῦμεν· χαῖρέ σοι Παρθένε κραυγάζοντες, τὸ φυλακτήριον πάντων, καὶ χαράκωμα, καὶ κραταίωμα, καὶ ἱερὸν καταφύγιον.

Ὠδὴ, έ. Ἐξέστη τὰ σύμπαντα.

Ο'Δὸν ἡ κυήσασα, ζωῆς χαῖρε Παναμώμητε, ἡ κατακλυσμοῦ τῆς ἁμαρτίας, σώσασα Κόσμον· χαῖρε Θεόνυμφε, ἄκουσμα καὶ λάλημα φρικτόν. χαῖρε ἐνδιαίτημα, τοῦ Δεσπότου τῆς Κτίσεως.

Ι'Σχὺς καὶ ὀχύρωμα, ἀνθρώπων χαῖρε Ἄχραντε, τόπε ἁγιάσματος τῆς δόξης, νέκρωσις ᾅδου, νυμφὼν ὁλόφωτε· χαῖρε τῶν Ἀγγέλων χαρμονή. χαῖρε ἡ βοήθεια, τῶν πιστῶς δεομένων σου.

Π'Υρίμορφον ὄχημα, τοῦ Λόγου χαῖρε Δέσποινα, ἔμψυχε Παράδεισε τὸ ξύλον, ἐν μέσῳ ἔχων ζωῆς τὸν Κύριον, οὗ ὁ γλυκασμὸς ζωοποιεῖ, πίστει τοὺς μετέχοντας, καὶ φθορᾷ ὑποκύψαντας.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ῥωννύμενοι σθένει σου, πιστῶς ἀναβοῶμέν σοι· χαῖρε πόλις τοῦ Παμβασιλέως, δεδοξασμένη καὶ ἀξιάκουστα, περὶ ἧς λελάληται σαφῶς, ὄρος ἀλατόμητον· χαῖρε βάθος ἀμέτρητον.

Εὐρύχωρον σκήνωμα, τοῦ Λόγου χαῖρε Ἄχραντε, κόχλος ἡ τὸν θεῖον μαργαρίτην, προαγαγοῦσα χαῖρε πανθαύμαστε, πάντων πρὸς Θεὸν καταλλαγή, τῶν μακαριζόντων σε, Θεοτόκε ἑκάστοτε.

Ὠδή, ς'. Τὴν θείαν ταύτην, καὶ πάντιμον.

Πάσας τοῦ Λόγου ἀμόλυντε, αἰτία τῆς τῶν πάντων θεώσεως· χαῖρε Πανάχραντε, τῶν Προφητῶν περιήχημα. χαῖρε τῶν Ἀποστόλων τὸ ἐγκαλλώπισμα.

Ἐκ σοῦ ἡ δρόσος ἀπέσταξε, φλογμὸν πολυθεΐας ἡ λύσασα, ὅθεν βοῶμέν σοι. χαῖρε ὁ πόκος ὁ ἔνδροσος, ὃν Γεδεὼν Παρθένε προεθεάσατο.

Ἰδού σοι χαῖρε κραυγάζομεν, λιμὴν ἡμῖν γενοῦ θαλαττεύουσι, καὶ ὁρμητήριον, ἐν τῷ πελάγει τῶν θλίψεων, καὶ τῶν σκανδάλων πάντων τοῦ πολεμήτορος.

Χαρᾶς αἰτία χαρίτωσον, ἡμῶν τὸν λογισμὸν τοῦ κραυγάζειν σοι· χαῖρε ἡ ἄφλεκτος, βάτος, νεφέλη ὁλόφωτε, ἡ τοὺς πιστοὺς ἀπαύστως ἐπισκιάζουσα.

Ὠδή, ζ'. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Ἀνυμνοῦμέν σε βοῶντες· χαῖρε ὄχημα, Ἡλίου τοῦ νοητοῦ, ἄμπελος ἀληθινή, τὸν βότρυν τὸν πέπειρον ἡ γεωργήσασα, οἶνον στάζοντα, τὸν τὰς ψυχὰς εὐφραίνοντα, τῶν πιστῶς σε δοξαζόντων.

Ἰατῆρα τῶν ἀνθρώπων ἡ κυήσασα· χαῖρε Θεόνυμφε, ἡ ῥάβδος ἡ μυστική, ἄνθος τὸ ἀμάραντον ἡ ἐξανθήσασα. χαῖρε Δέσποινα, δι' ἧς χαρᾶς πληρούμεθα, καὶ ζωὴν κληρονομοῦμεν.

Ῥητορεύουσα οὐ σθένει γλῶσσα Δέσποινα, ὑμνολογῆσαί σε, ὑπὲρ γὰρ τὰ Σεραφίμ, ὑψώθης κυήσασα τὸν Βασιλέα Χριστόν, ὃν ἱκέτευε, πάσης νῦν βλάβης ῥύσασθαι, τοὺς πιστῶς σε προσκυνοῦντας.

Εὐφημεῖ σε μακαρίζοντα τὰ πέρατα, καὶ ἀνακράζει σοι. χαῖρε ὁ τόμος ἐν ᾧ, δακτύλῳ ἐγγέγραπται, Πατρὸς ὁ Λόγος Ἁγνή, ὃν ἱκέτευε, Βίβλῳ ζωῆς τοὺς δούλους σου, καταγράψαι Θεοτόκε.

Ἱκετεύομεν οἱ δοῦλοί σου, καὶ κλίνομεν γόνυ καρδίας ἡμῶν, κλῖνον τὸ οὖς σου Ἁγνή, καὶ σῶσον τοὺς θλίψεσι βυθιζομένους ἡμᾶς, καὶ συντήρησον, πάσης ἐχθρῶν ἁλώσεως, τὴν σὴν πόλιν Θεοτόκε.



Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ, η΄. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Νηδύϊ τὸν Λόγον ὑπεδέξω, τὸν πάντα βαστάζοντα ἐβάστασας, γάλακτι ἐξέθρεψας, νεύματι τὸν τρέφοντα, τὴν Οἰκουμένην ἅπασαν, Ἁγνὴ ᾧ ψάλλομεν, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Μωσῆς κατενόησεν ἐν βάτῳ, τὸ μέγα μυστήριον τοῦ τόκου σου, παῖδες προεικόνισαν, τοῦτο ἐμφανέστατα, μέσον πυρὸς ἱστάμενοι, καὶ μὴ φλεγόμενοι, ἀκήρατε Ἁγία Παρθένε, ὅθεν σε ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Οἱ πρώην ἀπάτῃ γυμνωθέντες, στολὴν ἀφθαρσίας ἐνεδύθημεν, τῇ κυοφορίᾳ σου, καὶ οἱ καθεζόμενοι, ἐν σκότει παραπτώσεων, φῶς κατωπτεύσαμεν, φωτὸς κατοικητήριον Κόρη, ὅθεν σε ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Νεκροὶ διὰ σοῦ ζωοποιοῦνται, ζωὴν γὰρ τὴν ἐνυπόστατον ἐκύησας. εὔλαλοι οἱ ἄλαλοι, πρώην χρηματίζοντες, λεπροὶ ἀποκαθαίρονται, νόσοι διώκονται, πνευμάτων ἀερίων τὰ πλήθη, ἥττηνται Παρθένε, βροτῶν ἡ σωτηρία.

Ἡ Κόσμῳ τεκοῦσα σωτηρίαν, δι᾽ ἧς ἀπὸ γῆς εἰς ὕψος ἤρθημεν, χαίροις παντευλόγητε, σκέπη καὶ κραταίωμα, τεῖχος καὶ ὀχύρωμα, τῶν μελῳδούντων Ἁγνὴ, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ, θ΄. Ἅπας γηγενὴς, σκιρτάτω τῷ πνεύματι.

Ἵνα σοι πιστοὶ, τὸ χαῖρε κραυγάζωμεν, οἱ διὰ σοῦ τῆς χαρᾶς, μέτοχοι γενόμενοι, τῆς ἀϊδίου ῥῦσαι ἡμᾶς πειρασμοῦ, βαρβαρικῆς ἁλώσεως, καὶ πάσης ἄλλης πληγῆς, διὰ πλῆθος, Κόρη παραπτώσεων, ἐπιούσης βροτοῖς ἁμαρτάνουσιν.

Ὤφθης φωτισμὸς, ἡμῶν καὶ βεβαίωσις, ὅθεν βοῶμέν σοι· χαῖρε ἄστρον ἄδυτον, εἰσάγον Κόσμῳ τὸν μέγαν Ἥλιον. χαῖρε Ἐδὲμ ἀνοίξασα, τὴν κεκλεισμένην Ἁγνή. χαῖρε στύλε, πύρινε εἰσάγουσα, εἰς τὴν ἄνω ζωὴν τὸ ἀνθρώπινον.

Στῶμεν εὐλαβῶς, ἐν Οἴκῳ Θεοῦ ἡμῶν, καὶ ἐκβοήσωμεν. χαῖρε Κόσμου Δέσποινα. χαῖρε Μαρία Κυρία πάντων ἡμῶν. χαῖρε ἡ μόνη ἄμωμος, ἐν γυναιξὶ καὶ καλή. χαῖρε σκεῦος, μύρον τὸ ἀκένωτον, ἐπὶ σὲ κενωθὲν εἰσδεξάμενον.

Ἡ Περιστερὰ, ἡ τὸν ἐλεήμονα ἀποκυήσασα· χαῖρε Ἀειπάρθενε, Ὁσίων πάντων, χαῖρε τὸ καύχημα, τῶν Ἀθλητῶν στεφάνωμα· χαῖρε ἁπάντων τε, τῶν Δικαίων θεῖον ἐγκαλλώπισμα, καὶ ἡμῶν τῶν πιστῶν τὸ διάσωσμα.

Φω-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Φεῖσαι ὁ Θεὸς τῆς κληρονομίας σου, τὰς ἁμαρτίας ἡμῶν, πάσας παραβλέπων νῦν, εἰς τοῦτο ἔχων ἐκδυσωποῦσάν σε, τὴν ἐπὶ γῆς ἀσπόρως σε κυοφορήσασαν, διὰ μέγα ἔλεος θελήσαντα, μορφωθῆναι Χριστὲ τὸ ἀλλότριον.

Κοντάκιον, ἦχος πλ. δ΄.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια. Ὡς λυτρωθεὶς ἐκ τῶν δεινῶν εὐχαριστήρια. Ἀναγράφω σοι ὁ δοῦλός σου Θεοτόκε. Ἀλλ᾽ ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον. Ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον. Ἵνα κράζω σοι· Χαῖρε Νύμφη ἀνύμφευτε.

Εἶθ᾽ οὕτως. Οἱ ΚΔ΄. Οἶκοι.

Ἄγγελος πρωτοστάτης, Οὐρανόθεν ἐπέμφθη, εἰπεῖν τῇ Θεοτόκῳ τὸ χαῖρε. καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ, σωματούμενόν σε θεωρῶν Κύριε, ἐξίστατο, καὶ ἵστατο κραυγάζων πρὸς αὐτὴν τοιαῦτα. Χαῖρε δι᾽ ἧς ἡ χαρὰ ἐκλάμψει. χαῖρε δι᾽ ἧς ἡ ἀρὰ ἐκλείψει. χαῖρε τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις. χαῖρε τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις. χαῖρε ὕψος δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς. χαῖρε βάθος δυσθεώρητον καὶ Ἀγγέλων ὀφθαλμοῖς. χαῖρε, ὅτι ὑπάρχεις Βασιλέως καθέδρα. χαῖρε, ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα. χαῖρε ἀστὴρ ἐμφαίνων τὸν Ἥλιον. χαῖρε γαστὴρ ἐνθέου σαρκώσεως. χαῖρε δι᾽ ἧς νεουργεῖται ἡ Κτίσις. χαῖρε δι᾽ ἧς προσκυνεῖται ὁ Πλάστης.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Βλέπουσα ἡ Ἁγία, ἑαυτὴν ἐν ἁγνείᾳ, φησὶ τῷ Γαβριὴλ θαρσαλέως, τὸ παράδοξόν σου τῆς φωνῆς, δυσπαράδεκτόν μου τῇ ψυχῇ φαίνεται. ἀσπόρου γὰρ συλλήψεως τὴν κύησιν πῶς λέγεις; κράζων.

Ἀλληλούϊα.

Γνῶσιν ἄγνωστον γνῶναι, ἡ Παρθένος ζητοῦσα, ἐβόησε πρὸς τὸν λειτουργοῦντα, ἐκ λαγόνων ἁγνῶν Υἱὸν, πῶς ἐστὶ τεχθῆναι, δυνατὸν λέξον μοι; πρὸς ἣν ἐκεῖνος ἔφησεν, ἐν φόβῳ πλὴν κραυγάζων οὕτω. Χαῖρε βουλῆς ἀπορρήτου μύστις. χαῖρε σιγῆς δεομένων πίστις. χαῖρε τῶν θαυμάτων Χριστοῦ τὸ προοίμιον. χαῖρε τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον. χαῖρε Κλίμαξ ἐπουράνιε, δι᾽ ἧς κατέβη ὁ Θεός. χαῖρε γέφυρα μετάγουσα, τοὺς ἐκ γῆς πρὸς Οὐρανόν. χαῖρε τὸ τῶν Ἀγγέλων πολυθρύλλητον θαῦμα. χαῖρε τὸ τῶν δαιμόνων πολυθρήνητον τραῦμα. χαῖρε τὸ φῶς, ἀρρήτως γεννήσασα. χαῖρε τὸ πῶς μηδένα διδάξασα. χαῖρε σοφῶν ὑπερβαίνουσα γνῶσιν. χαῖρε πιστῶν καταυγάζουσα φρένας.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Δύναμις τοῦ Ὑψίστου, ἐπεσκίασε τότε, πρὸς σύλληψιν τῇ Ἀπειρογάμῳ, καὶ τὴν εὔκαρπον ταύτης νηδὺν, ὡς ἀγρὸν ὑπέδειξεν ἡδὺν ἅπασι, τοῖς θέλουσι θερίζειν σωτηρίαν, ἐν τῷ ψάλλειν οὕτως.

Ἀλλη-

Δημόσια Βιβλιοθήκη Μηλεών

Ἀλληλούϊα.

Ἔχουσα Θεοδόχον, ἡ Παρθένος τὴν μήτραν, ἀνέδραμε πρὸς τὴν Ἐλισάβετ. τὸ δὲ βρέφος ἐκείνης εὐθὺς, ἐπιγνοῦν τὸν ταύτης ἀσπασμὸν, ἔχαιρε. καὶ ἅλμασιν, ὡς ᾄσμασιν, ἐβόα πρὸς τὴν Θεοτόκον. Χαῖρε βλαστοῦ ἀμαράντου κλῆμα. χαῖρε καρποῦ ἀκηράτου κτῆμα. χαῖρε γεωργὸν γεωργοῦσα φιλάνθρωπον. χαῖρε φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα. χαῖρε ἄρουρα βλαστάνουσα εὐφορίαν οἰκτιρμῶν. χαῖρε τράπεζα βαστάζουσα εὐθηνίαν ἱλασμῶν. χαῖρε, ὅτι λειμῶνα τῆς τρυφῆς ἀναθάλλεις. χαῖρε, ὅτι λιμένα τῶν ψυχῶν ἑτοιμάζεις. χαῖρε δεκτὸν πρεσβείας θυμίαμα. χαῖρε παντὸς τοῦ Κόσμου ἐξίλασμα. χαῖρε Θεοῦ πρὸς θνητοὺς εὐδοκία. χαῖρε θνητῶν πρὸς Θεὸν παῤῥησία.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Ζάλην ἔνδοθεν ἔχων, λογισμῶν ἀμφιβόλων, ὁ σώφρων Ἰωσὴφ ἐταράχθη, πρὸς τὴν ἄγαμόν σε θεωρῶν, καὶ κλεψίγαμον ὑπονοῶν ἄμεμπτε, μαθὼν δέ σου τὴν σύλληψιν, ἐκ Πνεύματος Ἁγίου ἔφη.

Ἀλληλούϊα.

Ἤκουσαν οἱ Ποιμένες, τῶν Ἀγγέλων ὑμνούντων, τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν. καὶ δραμόντες ὡς πρὸς ποιμένα, θεωροῦσι τοῦτον, ὡς ἀμνὸν ἄμωμον, ἐν τῇ γαστρὶ Μαρίας βοσκηθέντα, ἣν ὑμνοῦντες εἶπον. Χαῖρε ἀμνοῦ καὶ ποιμένος Μήτηρ. χαῖρε αὐλὴ λογικῶν προβάτων. χαῖρε ἀοράτων ἐχθρῶν ἀμυντήριον. χαῖρε Παραδείσου θυρῶν ἀνοικτήριον. χαῖρε, ὅτι τὰ Οὐράνια συναγάλλεται τῇ γῇ. χαῖρε, ὅτι τὰ ἐπίγεια συγχορεύει Οὐρανοῖς. χαῖρε τῶν Ἀποστόλων τὸ ἀσίγητον στόμα. χαῖρε τῶν Ἀθλοφόρων τὸ ἀνίκητον θάρσος. χαῖρε στεῤῥὸν τῆς Πίστεως ἔρεισμα. χαῖρε λαμπρὸν τῆς χάριτος γνώρισμα. χαῖρε δι᾽ ἧς ἐγυμνώθη ὁ ᾅδης. χαῖρε δι᾽ ἧς ἐνεδύθημεν δόξαν.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Θεοδρόμον ἀστέρα, θεωρήσαντες Μάγοι, τῇ τούτου ἠκολούθησαν αἴγλῃ, καὶ ὡς λύχνον κρατοῦντες αὐτὸν, δι᾽ αὐτοῦ ἠρεύνων κραταιὸν Ἄνακτα. Καὶ φθάσαντες τὸν ἄφθαστον ἐχάρησαν, αὐτῷ βοῶντες.

Ἀλληλούϊα.

Ἴδον παῖδες Χαλδαίων, ἐν χερσὶ τῆς Παρθένου τὸν πλάσαντα χειρὶ τοὺς ἀνθρώπους. Καὶ Δεσπότην νοοῦντες αὐτὸν, εἰ καὶ δούλου ἔλαβε μορφὴν, ἔσπευσαν τοῖς δώροις θεραπεῦσαι, καὶ βοῆσαι τῇ εὐλογημένῃ. Χαῖρε ἀστέρος ἀδύτου μήτηρ. χαῖρε αὐγὴ μυστικῆς ἡμέρας. χαῖρε τῆς ἀπάτης τὴν κάμινον σβέσασα. χαῖρε τῆς Τριάδος τοὺς μύστας φωτίζουσα. χαῖρε τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα τῆς ἀρχῆς. χαῖρε Κύριον φιλάνθρωπον ἐπιδείξασα

Χρι-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Χριστόν. χαῖρε ἡ τῆς βαρβάρου λυτρουμένη θρησκείας. χαῖρε ἡ τοῦ βορβόρου ῥυομένη τῶν ἔργων. χαῖρε πυρὸς προσκύνησιν παύσασα. χαῖρε φλογὸς παθῶν ἀπαλλάττουσα. χαῖρε πιστῶν ὁδηγὲ σωφροσύνης. χαῖρε πασῶν γενεῶν εὐφροσύνη.

Χαῖρε νύμφη ἀνύμφευτε.

ΚΗ΄ρυκες Θεοφόροι, γεγονότες οἱ Μάγοι ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα, ἐκτελέσαντές σου τὸν χρησμὸν, καὶ κηρύξαντές σε τὸν Χριστὸν ἅπασιν, ἀφέντες τὸν Ἡρώδην ὡς ληρώδη, μὴ εἰδότα ψάλλειν.

Ἀλληλοῦϊα.

ΛΑ΄μψας ἐν τῇ Αἰγύπτῳ, φωτισμὸν ἀληθείας, ἐδίωξας τοῦ ψεύδους τὸ σκότος. Τὰ γὰρ εἴδωλα ταύτης Σωτὴρ, μὴ ἐνέγκαντά σου τὴν ἰσχὺν πέπτωκεν. Οἱ τούτων δὲ ῥυσθέντες, ἐβόων πρὸς τὴν Θεοτόκον. Χαῖρε ἀνόρθωσις τῶν ἀνθρώπων. χαῖρε κατάπτωσις τῶν δαιμόνων. χαῖρε ἡ τὴν πλάνην σαφῶς ἀφανίσασα. χαῖρε τῶν εἰδώλων τὸν δόλον ἐλέγξασα. χαῖρε θάλασσα ποντίσασα Φαραὼ τὸν νοητόν. χαῖρε πέτρα ἡ ποτίσασα τοὺς διψῶντας τὴν ζωήν. χαῖρε πύρινε στύλε ὁδηγῶν τοὺς ἐν σκότει. χαῖρε σκέπη τοῦ Κόσμου πλατυτέρα νεφέλης. χαῖρε τροφὴ τοῦ Μάννα διάδοχε. χαῖρε τρυφῆς ἁγίας διάκονε. χαῖρε ἡ γῆ τῆς ἐπαγγελίας. χαῖρε ἐξ ἧς ῥέει μέλι καὶ γάλα.

Χαῖρε νύμφη ἀνύμφευτε.

ΜΕ΄λλοντος Συμεῶνος, τοῦ παρόντος αἰῶνος μεθίστασθαι τοῦ ἀπατεῶνος, ἐπεδόθης ὡς βρέφος αὐτῷ, ἀλλ' ἐγνώσθης τούτῳ καὶ Θεὸς τέλειος. Διόπερ ἐξεπλάγη σου τὴν ἄρρητον σοφίαν κράζων.

Ἀλληλοῦϊα.

ΝΕ΄αν ἔδειξε Κτίσιν ἐμφανίσας ὁ Κτίστης, ἡμῖν τοῖς ὑπ' αὐτοῦ γενομένοις, ἐξ ἀσπόρου βλαστήσας γαστρὸς, καὶ φυλάξας ταύτην ὥσπερ ἦν ἄφθορον, ἵνα τὸ θαῦμα βλέποντες, ὑμνήσωμεν αὐτὴν βοῶντες. Χαῖρε τὸ ἄνθος τῆς ἀφθαρσίας. χαῖρε τὸ στέφος τῆς ἐγκρατείας. χαῖρε ἀναστάσεως τύπον ἐκλάμπουσα. χαῖρε τῶν Ἀγγέλων τὸν βίον ἐμφαίνουσα. χαῖρε δένδρον ἀγλαόκαρπον, ἐξ οὗ τρέφονται πιστοί. χαῖρε ξύλον εὐσκιόφυλλον, ὑφ' οὗ σκέπονται πολλοί. χαῖρε κυοφοροῦσα ὁδηγὸν πλανωμένοις. χαῖρε ἀπογεννῶσα λυτρωτὴν αἰχμαλώτοις. χαῖρε Κριτοῦ δικαίου δυσώπησις. χαῖρε πολλῶν πταιόντων συγχώρησις. χαῖρε στολὴ τῶν γυμνῶν παῤῥησίας. χαῖρε στοργὴ πάντα πόθον νικῶσα.

Χαῖρε νύμφη ἀνύμφευτε.

ΞΕ΄νον τόκον ἰδόντες, ξενωθῶμεν τοῦ Κόσμου, τὸν νοῦν εἰς Οὐρανὸν μεταθέντες. διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς Θεὸς, ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος, βουλόμενος ἑλκύσαι πρὸς τὸ ὕψος, τοὺς αὐτῷ βοῶντας.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἀλληλούϊα.

ΟΛος ἦν ἐν τοῖς κάτω, καὶ τῶν ἄνω οὐδ᾽ ὅλως ἀπῆν ὁ ἀπερίγραπτος Λόγος. συγκατάβασις γὰρ Θεϊκή, οὐ μετάβασις δὲ τοπικὴ γέγονε· Καὶ τόκος ἐκ Παρθένου θεολήπτου, ἀκουούσης ταῦτα. Χαῖρε Θεοῦ ἀχωρήτου χώρα. χαῖρε σεπτοῦ μυστηρίου θύρα. χαῖρε τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα. χαῖρε τῶν πιστῶν ἀναμφίβολον καύχημα. χαῖρε ὄχημα πανάγιον τοῦ ἐπὶ τῶν Χερουβίμ. χαῖρε οἴκημα πανάριστον τοῦ ἐπὶ τῶν Σεραφίμ. χαῖρε ἡ τἀναντία εἰς ταυτὸ ἀγαγοῦσα. χαῖρε ἡ παρθενίαν καὶ λοχείαν ζευγνῦσα. χαῖρε δι᾽ ἧς ἐλύθη παράβασις. χαῖρε δι᾽ ἧς ἠνοίχθη Παράδεισος. χαῖρε ἡ κλεὶς τῆς Χριστοῦ Βασιλείας. χαῖρε ἐλπὶς ἀγαθῶν αἰωνίων.

Χαῖρε νύμφη ἀνύμφευτε.

ΠΑσα φύσις Ἀγγέλων, κατεπλάγη τὸ μέγα, τῆς σῆς ἐνανθρωπήσεως ἔργον· τὸν ἀπρόσιτον γὰρ ὡς Θεόν, ἐθεώρει πᾶσι προσιτὸν ἄνθρωπον, ἡμῖν μὲν συνδιάγοντα, ἀκούοντα δὲ παρὰ πάντων οὕτως.

Ἀλληλούϊα.

ΡΗτορας πολυφθόγγους, ὡς ἰχθύας ἀφώνους, ὁρῶμεν ἐπὶ σοὶ Θεοτόκε· ἀποροῦσι γὰρ λέγειν τὸ πῶς. καὶ Παρθένος μένεις, καὶ τεκεῖν ἴσχυσας. ἡμεῖς δὲ τὸ μυστήριον θαυμάζοντες, πιστῶς βοῶμεν. Χαῖρε σοφίας Θεοῦ δοχεῖον. χαῖρε προνοίας αὐτοῦ ταμεῖον. χαῖρε φιλοσόφους ἀσόφους δεικνύουσα. χαῖρε τεχνολόγους ἀλόγους ἐλέγχουσα. χαῖρε, ὅτι ἐμωράνθησαν οἱ δεινοὶ συζητηταί. χαῖρε, ὅτι ἐμαράνθησαν οἱ τῶν μύθων ποιηταί. χαῖρε τῶν Ἀθηναίων τὰς πλοκὰς διασπῶσα. χαῖρε τῶν ἁλιέων τὰς σαγήνας πληροῦσα. χαῖρε βυθοῦ ἀγνοίας ἐξέλκουσα. χαῖρε πολλοὺς ἐν γνώσει φωτίζουσα. χαῖρε ὁλκὰς τῶν θελόντων σωθῆναι. χαῖρε λιμὴν τῶν τοῦ βίου πλωτήρων.

Χαῖρε νύμφη ἀνύμφευτε.

ΣΩσαι θέλων τὸν Κόσμον, ὁ τῶν ὅλων κοσμήτωρ, πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε, καὶ ποιμὴν ὑπάρχων ὡς Θεός, δι᾽ ἡμᾶς ἐφάνη καθ᾽ ἡμᾶς ἄνθρωπος· ὁμοίῳ γὰρ τὸ ὅμοιον καλέσας, ὡς Θεὸς ἀκούει.

Ἀλληλούϊα.

ΤΕῖχος εἶ τῶν παρθένων, Θεοτόκε Παρθένε, καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων· ὁ γὰρ τοῦ Οὐρανοῦ καὶ τῆς γῆς, κατεσκεύασέ σε ποιητὴς Ἄχραντε, οἰκήσας ἐν τῇ μήτρᾳ σου, καὶ πάντας σοι προσφωνεῖν διδάξας. Χαῖρε ἡ στήλη τῆς Παρθενίας. χαῖρε ἡ πύλη τῆς σωτηρίας. χαῖρε ἀρχηγὲ νοητῆς ἀναπλάσεως. χαῖρε χορηγὲ Θεϊκῆς ἀγαθότητος. χαῖρε σὺ γὰρ ἀνεγέννησας τοὺς συλληφθέντας αἰσχρῶς. χαῖρε σὺ γὰρ ἐνουθέτησας τοὺς συληθέντας τὸν νοῦν. χαῖρε ἡ τὸν φθορέα τῶν φρενῶν καταργοῦσα. χαῖρε ἡ τὸν σπορέα τῆς ἁγνείας τεκοῦσα. χαῖρε παστὰς ἀσπόρου νυμφεύσεως. χαῖρε πιστοὺς Κυρίῳ ἁρ-



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

μόζουσα. χαῖρε καλὴ κουροτρόφε παρθένων. χαῖρε ψυχῶν νυμφοστόλε Ἁγίων.

Χαῖρε νύμφη ἀνύμφευτε.

**Ὕ**Μνος ἅπας ἡττᾶται, συνεκτείνεσθαι σπεύδων, τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου· ἰσαρίθμους γὰρ τῇ ψάμμῳ ᾠδάς, ἂν προσφέρωμέν σοι Βασιλεῦ Ἅγιε, οὐδὲν τελοῦμεν ἄξιον, ὧν δέδωκας ἡμῖν τοῖς σοὶ βοῶσιν.

Ἀλληλούϊα.

**Φ**Ωτοδόχον λαμπάδα, τοῖς ἐν σκότει φανεῖσαν, ὁρῶμεν τὴν Ἁγίαν Παρθένον. τὸ γὰρ ἄϋλον ἅπτουσα φῶς, ὁδηγεῖ πρὸς γνῶσιν θεϊκὴν ἅπαντας, αὐγῇ τὸν νοῦν φωτίζουσα, κραυγῇ δὲ τιμωμένη ταῦτα. Χαῖρε ἀκτὶς νοητοῦ Ἡλίου. χαῖρε βολὶς τοῦ ἀδύτου φέγγους. χαῖρε ἀστραπὴ τὰς ψυχὰς καταλάμπουσα. χαῖρε ὡς βροντὴ τοὺς ἐχθροὺς καταπλήττουσα. χαῖρε ὅτι τὸν πολύφωτον ἀνατέλλεις φωτισμόν. χαῖρε ὅτι τὸν πολύρρυτον ἀναβλύζεις ποταμόν. χαῖρε τῆς κολυμβήθρας ζωγραφοῦσα τὸν τύπον. χαῖρε τῆς ἁμαρτίας ἀποσμήχουσα ῥύπον. χαῖρε λουτὴρ ἐκπλύνων συνείδησιν. χαῖρε κρατὴρ κιρνῶν ἀγαλλίασιν. χαῖρε ὀσμὴ τῆς Χριστοῦ εὐωδίας. χαῖρε ζωὴ μυστικῆς εὐωχίας.

Χαῖρε νύμφη ἀνύμφευτε.

**Χ**Άριν δοῦναι θελήσας, ὀφλημάτων ἀρχαίων, ὁ πάντων χρεολύτης ἀνθρώπων, ἐπεδήμησε δι' ἑαυτοῦ πρὸς τοὺς ἀποδήμους τῆς αὐτοῦ Χάριτος, καὶ σχίσας τὸ χειρόγραφον, ἀκούει παρὰ πάντων οὕτως.

Ἀλληλούϊα.

**Ψ**Άλλοντές σου τὸν τόκον, ἀνυμνοῦμέν σε πάντες, ὡς ἔμψυχον ναὸν Θεοτόκε. ἐν τῇ σῇ γὰρ οἰκήσας γαστρί, ὁ συνέχων πάντα τῇ χειρὶ Κύριος, ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε, βοᾶν σοι ταῦτα. Χαῖρε σκηνὴ τοῦ Θεοῦ καὶ Λόγου. χαῖρε Ἁγία Ἁγίων μείζων. χαῖρε κιβωτὲ χρυσωθεῖσα τῷ Πνεύματι. χαῖρε θησαυρὲ τῆς ζωῆς ἀδαπάνητε. χαῖρε τίμιον διάδημα Βασιλέων εὐσεβῶν· χαῖρε καύχημα σεβάσμιον Ἱερέων εὐλαβῶν. χαῖρε τῆς Ἐκκλησίας ὁ ἀσάλευτος πύργος. χαῖρε τῆς Βασιλείας τὸ ἀπόρθητον τεῖχος. χαῖρε δι' ἧς ἐγείρονται τρόπαια. χαῖρε δι' ἧς ἐχθροὶ καταπίπτουσι. χαῖρε χρωτὸς τοῦ ἐμοῦ θεραπεία. χαῖρε ψυχῆς τῆς ἐμῆς σωτηρία.

Χαῖρε νύμφη ἀνύμφευτε.

**Ω**͂ Πανύμνητε Μῆτερ, ἡ τεκοῦσα τὸν πάντων ἁγίων ἁγιώτατον Λόγον, δεξαμένη τὴν νῦν προσφοράν, ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας, καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως τοὺς σοὶ βοῶντας.

Ἀλληλούϊα.

Τὸν ἄνωθεν Κανόνα καὶ τὸν Οἶκος λέγε κατὰ πᾶσαν τῆς Παρασκευῆς Ἑσπέραν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑΝΩΝ

## ΕΙ᾿Σ ΤΗ᾿Ν ΥΠΕΡΑΓΙ΄ΑΝ ΘΕΟΤΟ΄ΚΟΝ,

Ὃν κατὰ πᾶν Σάββατον Ἑσπέρας ἀναγινώσκουσιν ἐν τῷ Ἁγιωνύμῳ Ὄρει τοῦ Ἄθω,

### ΕΙ᾿Σ ΤΟ᾿ Α᾿ΠΟ΄ΔΕΙΠΝΟΝ.

### Η῏ΧΟΣ, πλ. Β΄.

Ὠδὴ, ά. Κύματι θαλάσσης.

ΧΑΙ͂ΡΕ τῶν Πατέρων, τὸ εὔφημον κράτος, χαῖρε περίδοξον, κλέος τοῦ γένους ἡμῶν, χαῖρε πηγὴ σωτηρίας, ἡ ἐκβλύζουσα τὸν ἔλεον, τοῖς πιστῶς ὑμνοῦσί σε, τὴν μόνην ὑπερύμνητον.

ΔΕ΄χου ἐκ χειλέων, ἀσώτων τὸν αἶνον, ἡ Πολυΰμνητος καὶ ὑπερένδοξος· σὺ γὰρ ὑπάρχεις τοῦ Κόσμου, εὐκοσμία καὶ διάσωσμα, ῥυομένη ἅπαντας, τοὺς εὐσεβῶς σε μέλποντας.

ΧΑῖρε φωτοφόρε, σκηνὴ καὶ λυχνία, ναὲ καὶ τράπεζα, καὶ Ὄρος Ἅγιον. χαῖρε παλάτιον δόξης, τοῦ Θεοῦ τὸ θεῖον Τέμενος, χαῖρε τεῖχος ἄῤῥηκτον, ἡμῶν τῶν ἀνυμνούντων σε.

Η῾ Τῶν ἀνελπίστων, ἐλπὶς καὶ προστάτις, ἡ ἀκαταίσχυντος, πάντων βοήθεια, τὰς Οὐρανίους μοι πύλας, διανοίξασα προσάγαγε, τῷ Υἱῷ σου Δέσποινα, καὶ σῶσόν με τὸν δοῦλόν σου.

Ὠδὴ, γ΄. Σὲ τὸν ἐπὶ ὑδάτων.

ΣΕ᾿ πᾶσαι Πανάγια, δοξάζουσιν αἱ τάξεις τῶν Ἀγγέλων, ἡμεῖς δὲ



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

καταχρέος ἀκαταπαύστως σὲ μέλπομεν, καὶ εὐχαρίστως ψάλλομεν, χαῖρε ἡ λύτρωσις, τῶν πιστῶς ἐπικαλούντων σε.

ΤΙ'ς ἐπαξίως Κόρη, ὑμνήσει σου τὸν τόκον Θεοτόκε; ἡ Κτίσις κατιδοῦσα, τὸ τελεσθέν σοι Μυστήριον, θαμβητικῶς ἐκραύγαζεν, ὄντως οὐ τέτοκε πλήν σου ἄλλη παρθενεύουσα.

ΠΡόσηθι τοῖς αἰτοῦσι, τὸν ἔλεον ἐκ σοῦ Παρθενομῆτορ, τὴν κραταιάν σου χεῖρα, τοῖς ἐν ἀνάγκαις ἐκτείνουσα, καὶ συμφοραῖς προφθάνουσα, σὲ γὰρ κεκτήμεθα, πάντες λύτρον ἐν ταῖς θλίψεσι.

ΔΑ'κρυα μετανοίας, οὐ κέκτημαι ὥσπερ ἡ πάλαι πόρνη, ἀσώτως δὲ τὸν βίον, ἐκδαπανήσας προσπίπτω σοι, ἐν στεναγμοῖς δεόμενος, λιταῖς σου Δέσποινα, πένθος ῥύσιον παράσχου μοι.

Ὠδὴ, δ'. Τὴν ἐν Σταυρῷ σου θείαν κένωσιν.

ΣΥ' εἶ τοῦ Κόσμου ἡ ἀντίληψις, Θεοτόκε Ἁγνή, καὶ σωτηρία πάντων, ὡς τὸν Θεὸν γεννήσασα, ὅθεν εὐσεβῶς, μεγαλυνόμενοι πάντες, καὶ εὐφημοῦμέν σε.

ΤΕῖχος ὑπάρχεις καὶ ἀσφάλεια, καὶ ἐλπὶς τῶν πιστῶν, καὶ πύργος σωτηρίας, τοὺς καθ' ἡμῶν κατάβαλλε Ἄχραντε ἐχθρούς, τὰς ἐλπίδας εἰς σὲ γὰρ πάσας ἐθέμεθα.

ΤΗ'ν ἀπροσμάχητον ἐλπίδα σου, κεκτημένοι Σεμνή, τῶν δυσμενῶν τὰ θράση, καταβαλοῦμεν Ἄχραντε πίστει τῇ εἰς σέ. τῇ σῇ γὰρ ἐπικλήσει νῦν κραταιούμεθα.

Ι'Δε τὴν θλῖψιν, ἴδε Πάναγνε, τὸν ἐμὸν στεναγμόν, ἴδε τὴν ἀθυμίαν, καὶ τὴν πολλήν σου ἔνδειξον χάριν ἐν ἐμοί, εὐφροσύνης πληροῦσα τὴν ταπεινήν μου ψυχήν.

Ὠδὴ, ε'. Θεοφανείας σου Χριστέ.

ΧΑῖρε τὸ τεῖχος τῶν πιστῶν, καὶ κραταιὰ μεσιτεία Ἄχραντε. χαῖρε Ὄρος Ἅγιον Πανύμνητε. χαῖρε κλίμαξ ἔμψυχε Δέσποινα. χαῖρε πάντων ἡ χαρμονὴ καὶ ἡ βοήθεια, τῶν ἀβοηθήτων, καὶ σκέπη τῶν ὁλοψύχως προστρεχόντων σοι.

ΜΕγαλοφώνως ἐκβοῶν, τῶν Προφητῶν ὁ χορὸς ἐκήρυττε, τὸ φρικτὸν τοῦ Τόκου σου Μυστήριον, ὅτι μόνη ἀφθόρως τέτοκας, Θεὸν τῶν ἁπάντων, ὃς μετὰ τόκον σε, συντηρήσας Παρθένον, ὡς πρὸ τοῦ τόκου διεφύλαξε.

ΤΙ'ς ἐξισχύσει σου Ἁγνή, τὸ ὑπὲρ νοῦν ἐξειπεῖν Μυστήριον; τὸν Θεὸν γὰρ τέτοκας ὑπέραγνε, καὶ ὡς βρέφος τοῦτον ἐγαλούχησας· ὅθεν πᾶσαι αἱ γενεαί σε μακαρίζουσιν, ὡς προέφης Κόρη, καὶ πόθῳ τὸν σὲ δοξάσαντα δοξάζομεν.



Δημόσια Βιβλιοθήκη Μηλεών

ΘΕοπαρόχους δωρεάς, ὡς συμπαθὴς καὶ φιλάγαθος οὖσα, τοῖς βροτοῖς ἐποχετεύεις πάντοτε Θεοτόκε, Μήτηρ ἀνύμφευτε, καὶ λυτρῶσαι σαῖς προσευχαῖς πάντας κολάσεως, διὸ μὴ παρίδῃς τοὺς σκέπῃ τῇ κραταιᾷ σου καταφεύγοντας.

Ὠδὴ, ς΄. Τοῦ βίου τὴν θάλασσαν.

ΣΟὶ προσπίπτω Ἄχραντε, Θεοτόκε ἀγαθή, ταῖς σαῖς πρεσβείαις αἴτησαι, τὸν πάσης ἀγαθότητος χορηγόν, Υἱόν σου καὶ Κύριον, παρασχεῖν μοι πταισμάτων τὴν συγχώρησιν.

ΕἸς βάθη ἀπέρριμμαι, καταιγίδος χαλεπῆς, θαλάσσης κυμαινούσης με, ἐξ ἀμέτρων πταισμάτων μου καὶ δεινῶν, τὴν ζάλην κατεύνασον, καὶ γαλήνην παράσχου μοι Πανάχραντε.

ἩΠάντων δεσπόζουσα, τῶν κτισμάτων ὡς Θεόν, ὑπερφυῶς κυήσασα, τῶν πταισμάτων μου Πανάγνε τὰς οὐλάς, εἰς τέλος ἐξάλειψον, καὶ ζωῆς αἰωνίου με ἀξίωσον.

ΣΥ τὸ παραμύθιον, καὶ προσφύγιον Ἁγνή, τῶν οἰκετῶν σου πέφυκας, ἀδιάλειπτον ποίει τὴν πρὸς Θεόν, ἱκέσιον δέησιν, τῶν ἐν πίστει καὶ πόθῳ ἐξαιτούντων σε.

Ὠδὴ, ζ΄. Οἱ παῖδες ἐν Βαβυλῶνι.

ΜΗ παύσῃ Παρθενομῆτορ, ἐκδυσωποῦσα τὸν Κύριον, τοῦ ῥυσθῆναι ἡμᾶς, ἐκ κινδύνων καὶ θλίψεων Δέσποινα, ἵνα προθύμως ψάλλωμεν, εὐλογημένος πάναγνε, ὁ καρπὸς τῆς κοιλίας σου.

ΑΠάντων Ἁγιωτέρα, τῶν Οὐρανίων Δυνάμεων, Χερουβὶμ, Σεραφὶμ, ἀνεδείχθης Μητροπάρθενε Δέσποινα, ὡς τὸν Χριστὸν κυήσασα, τὸν Δεσπότην τῆς Κτίσεως.

ΚΑὶ τίκτεις καὶ παρθενεύεις, καὶ μετὰ τόκον διέμεινας, ὡς πρὸ τόκου Ἁγνή, Θεοτόκε μὴ φλεχθεῖσα τὴν μήτραν σου, ὅθεν πιστῶς δοξάζομεν, μετὰ Θεόν σε πάναγνε.

ΦΟβεῖ με καὶ συνταράττει, τὰ τῶν πταισμάτων μου κύματα, ἀλλὰ σὺ ἀγαθὴ Παναγία, συμπάθειαν αἴτησαι, ἐν ὥρᾳ τῆς ἐτάσεως, σωτηρίαν βραβεύουσα.

Ὠδὴ, η΄. Ἔκστηθι φρίττων Οὐρανέ.

ΣΥ τὸ προσφύγιον ἡμῶν, καὶ ἡ παράκλησις πάντων Ἄχραντε Ἁγνή. ἰδοὺ γὰρ ὁ τῶν ὅλων Κύριος τεχθεὶς ἐκ μήτρας τῆς σῆς, Παρθένον συντηρεῖ μετὰ τόκον, ὃν πάντες εὐλογοῦμεν χείλεσιν ἀναξίοις, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ΝΕῦσον ἑτοίμη τῶν πιστῶν, θερμὴ ἀντίληψις καὶ ἐμὴ καταφυγή, καὶ δέξαι κατώδυνον δέησιν, ἀπὸ καρδίας ἐμῆς, καὶ ῥῦσαι προλήψεως

ἀλό-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ἀλόγου, φαύλης με συνηθείας, καὶ χαρμόσυνον πένθος, τῇ πεπωρωμένῃ ψυχῇ μου δὸς Παρθένε.

Τὰ πεπραγμένα μοι δεινά, ὅταν λογίσωμαι, καὶ τὸ Βῆμα τὸ φρικτόν, Παρθένε δειλιῶ καὶ δέδοικα. ἀλλ' ὡς φιλάνθρωπος σύ, πρὸ τέλους τὸν Κριτὴν ἱλέωσόν μοι· σὺ γὰρ ὑπάρχεις πάντων, πεπτωκότων ἡ βάσις, καὶ ἀπηλπισμένων ἐλπὶς καὶ προστασία.

Ἵλεων αἰτῆσαι ἡμῖν, καὶ διάλλακτον τὸν Υἱόν σου καὶ Θεόν, γενέσθαι Ἁγνὴ τοῖς οἰκέταις σου, καὶ σωτηρῆσαι ἡμᾶς, ἐκ πάσης προσβολῆς ἐναντίας, καὶ τὸ τῆς Ἄγαρ θράσος, καταβαλεῖν ἐν τάχει, ἵνα σε ὑμνῶμεν τὴν Κεχαριτωμένην.

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον.

Ἔκστηθι φρίττων Οὐρανέ, καὶ σαλευθήτωσαν τὰ θεμέλια τῆς γῆς· ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται, ὃν παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Μὴ ἐποδύρου μου Μῆτερ.

Μὴ ἐπιλάθῃ Παρθένε, Ἀπειρόγαμε Μῆτερ, σῶν οἰκετῶν προσεδρευόντων σοι ἐν τῷ ναῷ. σὺ γὰρ μόνη πέλεις Χριστιανῶν ἡ ἐλπίς, τὸ ὀχύρωμα πάντων προσφυγόντων σου Ἁγνή, τὰς ἡμῶν ἱκεσίας Δέσποινα πλήρωσον.

Χαῖρε τὸ ἄρρηκτον Τεῖχος, χαῖρε σκέπη τοῦ Κόσμου. χαῖρε Ναέ, χαῖρε λαμπάς, χαῖρε θρόνε Θεοῦ. χαῖρε πάντων ἡ χαρμονὴ καὶ ἡ βοήθεια, κατ' ἐχθρῶν ἀοράτων ὑπάρχουσα ἀεί, σωτηρίας τε ὅπλον ἀκαταμάχητον.

Σὲ προστασίαν καὶ σκέπην, καὶ ἐλπίδα καὶ τεῖχος, καὶ προσφυγήν, καὶ ἱλασμόν, καὶ λύσιν τῶν δεινῶν, ἔχοντές σε Ἁγνὴ διασωζόμεθα· πειρασμῶν καὶ κινδύνων, καὶ νόσων καὶ παθῶν, καὶ ἀπαύστως ὑμνοῦμεν τὰς δυναστείας σου.

Σὺ τῶν Ἀγγέλων ἡ δόξα, Προφητῶν ἡ διόπτρα, Πατριαρχῶν καὶ Ἀποστόλων καύχημα φαιδρόν. σὺ Μαρτύρων Χριστοῦ τὸ ἐγκαλλώπισμα. Ἀσκητῶν καὶ Δικαίων ἁγίασμα τερπνόν, καὶ τοῦ σύμπαντος Κόσμου ἡ ἀνακαίνισις.

Στιχηρὰ προσόμοια. Ὅλην ἀποθέμενοι.

Μόνος ὑπὲρ ἅπαντας, γένους ἀνθρώπων ὁ τάλας, μόνος ἐπλημμέλησα, τὰ καὶ λόγῳ ἄφθεγκτα καὶ ἀκούσματι, μηδαμῶς Ἄχραντε, φορητὰ πέλοντα· διὰ τοῦτο πόθῳ δέομαι, σύγγνωθι Δέσποινα, σύγγνωθι καὶ δός μοι μετάνοιαν, δός μοι ἐξομολόγησιν, καὶ πηγὰς δακρύων τῷ τά-



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

λανι, ἵνα διὰ τούτων, ἐκπλύνω τῶν τραυμάτων τὰς οὐλάς, καὶ ἐπιτύχω ἀνέσεως, ὥρᾳ τῆς ἐτάσεως.

Ἀπόθου ταλαίπωρε, ψυχὴ καὶ μίσησον πάντα, ἃ Θεὸς βδελύττεται, καὶ μισεῖ καὶ τέλεον ἀποστρέφεται, καὶ θερμῶς δάκρυσον, καὶ πιστῶς πρόσελθε, τῇ Ἀειπαρθένῳ κράζουσα· ῥῦσαί με Δέσποινα, πάσης ἀκηδίας καὶ θλίψεως, ὀργῆς, θυμοῦ, καὶ ἔριδος, ζήλου τε καὶ φθόνου καὶ μήνιδος, δεινῆς βλασφημίας, παντοίας ὑποκρίσεως Ἁγνή, καὶ σωτηρίας ἀξίωσον, τὸν παρακαλοῦντά σε.

Ἡ Πόρνη κενώσασα, μύρου ἀλάβαστρον πάλαι, τοῖς ποσί σου Δέσποτα, πάντων ἠλευθέρωται, ὧνπερ ἔπραξεν, ὁ Λῃστὴς μόνον σου, μνημονεύσας ὤφθη, καὶ εὐθέως εἰς Παράδεισον, αὐτὸν εἰσήγαγες· ἐγὼ δὲ τί πράξω ὁ ἄθλιος, οὐ μύρον, οὐ κατάνυξιν, ἔχω δωρεάν με ἐλέησον. οἰκτειρόν με Λόγε, ἡ Ἄχραντός σου Μήτηρ δυσωπεῖ, ἣν ἐδωρήσω τῷ Κόσμῳ σου μέγα καταφύγιον.

Πολλαῖς συνεχόμενος, νῦν πειρασμοῖς ὁ παντλήμων, πρὸς σὲ τὴν Πανάμωμον, καταφεύγω σῶσόν με, τὸν πανάθλιον, τὸν πολλὰ πταίσαντα, ὡς οὐδεὶς ἄλλος γάρ, ἐξισχύεις βοηθῆσαί μοι· πάντα γὰρ δύνασαι, ὅσα θέλεις Κόρη Πανύμνητε, ὡς Μήτηρ ὑπεράγαθος, τοῦ Παντοδυνάμου Θεοῦ ἡμῶν, Δέσποινα τοῦ Κόσμου, βεβαία προστασία τῶν πιστῶν, μή με παρίδῃς δακρύοντα, τὸν ἀχρεῖον δοῦλόν σου.

## Τ Ε' Λ Ο Σ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Βιβλιοθήκη Μηλεών

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών